# Ἡ ΘΕΙΑ ΚΑΙ ΙΕΡΑ

# ἈΚΟΛΟΥΘΙΑ

Τῶν Ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν Βαρνάβα καὶ Σωφρονίου τῶν ἐξ Ἀθηνῶν, καὶ τοῦ Ἱεροῦ Χρισοφόρου, τῶν ἐν Μελᾷ ὄρει ἀσκησάντων.

# ΨΑΛΛΟΜΕΝΗ

Τῇ Δεκάτῃ Ὀγδόῃ τοῦ Αὐγούστου Μηνός.

Καὶ ἐν τῷ καιρῷ τῶν Φθοροποιῶν Ἀκρίδων.

Συντεθεῖσα μὲν παρὰ τοῦ Σοφωτάτου Διδασκάλου Κυρίου Νεοφύτου Ἱεροδιακόνου Πελοποννησίου τοῦ Καυσοκαλυβίτου, εἰς Ἑλληνικὴν Διάλεκτον,

Τύποις δὲ πρῶτον ἐκδοθεῖσα, ἡγουμενεύοντος τοῦ Πανοσιωτάτου καὶ Σεβασμιωτάτου Πατρὸς Ἁγίου Καθηγουμένου τῆς ἐν τῷ Μελᾷ ὄρει κειμένης Ἱερᾶς Σεβασμίας Βασιλικῆς τε καὶ Πατριαρχικῆς μεγίστης Μονῆς τῆς Ὑπεραγίας Θεοτόκου, Παναγίας τοῦ Σουμελᾶ,

ΚΥΡΙΟΥ ΧΡΙΣΤΟΦΟΡΟΥ

Καὶ Ἁγίου Σκευοφύλακος Κυρίου Δαμιανοῦ.

Ἐμμελεῖ δὲ καὶ σπουδῇ καὶ συνδρομῇ τοῦ ἐκ τῆς αὐτῆς Μονῆς Παρθενίου Ἀρχιμανδρίτου Τραπεζουντίου τοῦ Μεταξοπούλου, παρ᾽ οὗ συντεθεῖσα καὶ ἡ ἐν Συνόψει Ἱστορία τοῦ Βασιλείου τῆς περιφήμου Τραπεζοῦντος.

Ἐν Λειψίᾳ τῆς Σαξονίας

Ἐν Ἔτει, αψοε΄. 1775.

Ἐν Τυπογραφείᾳ Βιλγέλμου Γοττλὼβ Σόμμερ.

## Τοῖς Ἐντευξομένοις ἐν Κυρίῳ χαίρειν.

ΠΟλλῷ, μᾶλλον δὲ ἀσυγκρίτως δικαιότερον, μυθολογιῶν καὶ ἀνοήτων τινῶν Ἱστοριῶν, βίους Ὁσίων καὶ ἱστορεῖν καὶ τύποις ἐκδιδόναι, δι' ὧν καὶ Θεὸς δοξάζεται ἐν τοῖς Ἁγίοις αὐτοῦ, καὶ Ἄνθρωποι πρὸς τὸν αὐτὸν τῆς ἀρετῆς ζῆλον διαθερμαίνονται. Θαυμαστὸς μὲν οὖν καὶ τῶν ἄλλων Πατέρων ἑνὸς ἑκάστου ὁ βίος, οὐδενός γε μὴν ἧττον εἰς λόγον θαύματος καὶ ζῆλον ἀρετῆς καὶ ὁ τῶν καθ' ἡμᾶς Ὁσίων, Βαρνάβα φημὶ Σωφρονίου τε καὶ Χριστοφόρου, τῶν ἀειμνήστων καὶ κτιτόρων καὶ προστατῶν τῆς ἐν τῷ τοῦ Μελᾶ ὄρει σεβασμίας Μονῆς τῆς Ὑπεραγίας Θεοτόκου· ὃν ὑπό τε τοῦ Ἁγιωτάτου Πατριάρχου Ἰωάννου τοῦ Ξιφιλίνου Κωνσταντινουπόλεως (1), καὶ Δοσιθέου (2) Ἱεροσολύμων, τοῦτε ἐν Ἁγίοις Ἀθανασίου (3) Τραπεζοῦντος Προέδρου, ᾧ τοὐπίκλην Δαιμονοκαταλύτης, καὶ τοῦ Χαλδίας Διονυσίου (4), ἔτι μὴν καὶ Ἀκακίου τινος Σαββαΐτου (5), καὶ Νικοδήμου (6), ἐκ Κολχίδος, καὶ ἐκ Κώδικος παλαιοτάτου Ἀνωνύμου (7) τινὸς, καὶ ἑτέρων (8), ἐκ διαφόρων χυδαϊκῶν καὶ τῷ χρόνῳ



ἐξιτή-

(1) Ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Ἰωάννης τοὐπίκλην Ξιφιλῖνος, (Νεκτάριος Πατριαρχ. Ἱεροσολύμ. Φύλ. 24. καὶ 201.) ὃς ἐκ Τραπεζοῦντος μὲν ὥρμητο, πεπαίδευτο δὲ παιδείαν λόγων παντοδαπῶν, καὶ τοῖς ἐξόχοις τῆς Συγκλήτου βουλῆς συνηρίθμητο, πάντα δὲ ἑκουσίως λιπὼν τοῖς κατὰ τὸν Ὄλυμπον προσφοιτήσας σεμνείοις, κείρεταί τε τὴν κόμην καὶ τὸν μοναχικὸν ὑπέρχεται βίον, ἔνθα καὶ συχνὸν διανύσας χρόνον ἄξιος ἐκρίθη τοῦ Πατριαρχικοῦ Θρόνου τῆς Κωνσταντινουπόλεως, ἐπὶ Κωνσταντίνου τοῦ Δούκα, ἐν ἔτει, 1064, ἀπὸ Χριστοῦ. (Ζωναρᾶς Ἱστορ. Βιβλ. ιη', Φύλ. 217.) συνέγραψε καὶ περὶ τῆς πρὸς Τραπεζοῦντι Βασιλικῆς Μονῆς τοῦ Σουμελᾶ, καὶ τῶν Βασιλέων τῆς Τραπεζοῦντος. (Κῶδιξ χειρογρ.) ἐκ τοῦ γένους αὐτοῦ μέχρι τῆς σήμερον περὶ τὴν Τραπεζοῦντα καὶ ἐν ἄλλοις τόποις εὑρίσκονται, καὶ ὀνομάζονται Ξιφιλάνται, τινὲς δὲ καὶ Ὑψηλάνται, ἐκ τοῦ Κωνσταντίνου Ξιφιλίνου τοῦ Ὑψηλάντη μεγάλου Δομεστίχου, καὶ γαμβροῦ τοῦ Αὐτοκράτορος Ἐμμανουὴλ Βασιλέως Τραπεζοῦντος, περὶ τό, 1390, ἔτος ἀπὸ Χριστοῦ.

(2) Δοσίθεος Πατριάρχης Ἱεροσολύμων, κατὰ τό, 1700, ἔτος, ἐπολυτλὰς καὶ ζηλωτὴς, καὶ σοφὸς, ἐν τῷ Περὶ τῶν ἐν Ἱεροσολύμοις πατριαρχευσάντων, Βιβλ. ια'. Κεφ. 4. ἱστορεῖ καὶ περὶ τῆς Ἱερᾶς Μονῆς ταύτης, ἐκδεδομένῳ ἐν Βουκουρεστίῳ τῆς Οὐγκροβλαχίας.

(3) Ὁ ἐν Ἁγίοις Ἀθανάσιος Μητροπολίτης Τραπεζοῦντος, κατὰ τὸ 1600, τοὐπίκλην Δαιμονοκαταλύτης, οὗ τὰ ἱερὰ ἄμφια σώζονται ἐν τῇ Μητροπόλει τῆς Τραπεζοῦντος, συνέταξε Περιγραφὴν τῆς Μονῆς ταύτης. Χειρογρ. Κώδ.

(4) Διονύσιος Ἀρχιεπίσκοπος Χαλδίας, ἀνὴρ ἐλλόγιμος, συνέγραψε κατὰ τό, 1760, ἐν συνόψει τὸ Ἱστορικὸν τῆς Μονῆς ταύτης, καὶ τὴν Ἀκολουθίαν τῶν Ὁσίων Πατέρων. ἥτις τυπωθεῖσα ἐν ἔτει, 1769. ἐν Βουκουρεστίῳ τῆς Οὐγκροβλαχίας, ἠφανίσθη παρὰ τῶν πολεμίων.

(5) Ἀκάκιος Μοναχὸς Σαββαΐτης, ἐκ τῆς σεβασμίας Μονῆς τοῦ ἐν Ἱεροσολύμοις Ὁσίου Σάββα, ἐπὶ Κωνσταντίνου τοῦ Πωγωνάτου, κατὰ τό, 680, ἔτος ἀπὸ Χριστοῦ, συνέταξεν Ἱστορίαν τῆς Μονῆς ταύτης, καὶ Ἀκολουθίαν τῶν Ὁσίων Πατέρων. Χειρογρ. Κώδ.

(6) Νικόδημος Ἱερομόναχος ἐκ πόλεως Φάσιδος τῆς Κολχίδος, κατὰ τό, 1665, συνέγραψε περὶ τῆς Μονῆς ταύτης Ἱστορικὸν, καὶ Ἀκολουθίαν τῶν Ὁσίων Πατέρων. Χειρογρ. Κώδ.

(7) Ἀνωνύμου τινὸς Κῶδιξ, παλαιότατος καὶ πολυχρόνιος, περιέχων τὰ περὶ τῆς σεβασμίας Μονῆς τοῦ Σουμελᾶ, ἐν Μεμβράναις ἄνευ προσῳδιῶν γεγραμμένος, καὶ αὐτοῖς τοῖς ὀλίγοις δυσαναγινωσκόμενος, καὶ ἐν τῇ ἀρχῇ καὶ ἐν ἄλλοις μέρεσιν ἐλλειπὴς, ἐκ τῆς πολυκαιρίας καὶ σήψεως.

ἐξιτήλων Ἀντιγράφων πάλαι μεταγραφέντα, ἀναλαβόντες ἡμεῖς (9) τὰ ἐκείνων, λέγω δὴ τῶν Ἀντιγράφων, ὡς εἰπεῖν, ἐξαμβλώματα κατὰ τὸ ἡμῖν ἐγχωροῦν ἀνεμορφώσαμεν, τὰ περὶ τῆς τῶν Σεπτῶν Εἰκόνων προσκυνήσεως εἴκοθεν προοιμιασάμενοι, προτροπῇ ἅμα καὶ παρακλήσει τοῦ σπουδαιοτάτου τῶν ἐκ τῆς εἰρημένης Μονῆς Ἀδελφῶν, τοῦ Πανοσιωτάτου φημὶ Ἀρχιμανδρίτου Κυρίου Παρθενίου, τοὐπίκλην Μεταξοπούλου. οὗ τινος σπουδῇ ἐμπόνῳ καὶ τύποις ἐξεδόθη, μετὰ καὶ τῆς αὐτῶν Ἀκολουθίας. οὐ μὴν ἀλλὰ καὶ ἡ ἐν Συνόψει Ἱστορία τῶν Βασιλέων τῆς Τραπεζοῦντος παρ᾽ αὐτοῦ (10) συντεθεῖσα. ἔτι καὶ τριῶν τινῶν Χρυσοβούλλων, Βασιλέως τέ φημι Ἀλεξίου τοῦ τῶν Μεγάλων Κομνηνῶν, Σκαρλάτου τε τῆς Μολδοβλαχίας, καὶ Στεφάνου τοῦ τῆς Οὐγκροβλαχίας Ἡγεμόνων. Ἀποδεξάμενοι οὖν εὐγνωμόνως, ὦ φιλαναγνῶσται, ἣν ὁ εἰρημένος Ἀδελφὸς ἐν πολλῷ πόνῳ καὶ ἀναλώμασιν οὐκ ὀλίγοις ἀνακαινίσας, ἐξέδωκε Φιλόθεον ταύτην Ἱστορίαν, αὐτῷ μὲν τὰ πρὸς σωτηρίαν συνεύξασθε, τῇ δὲ Θεομήτορι τὸ ὀφειλόμενον σέβας ἀπόδοτε, τῇ διὰ τῆς Σεβασμίας αὐτῆς Εἰκόνος καὶ τῶν αὐτῆς Θεραπόντων ποιούσῃ καθ᾽ ἑκάστην, ὡς εἰπεῖν, μετὰ τῶν ἐν πίστει ἐπικαλουμένων αὐτὴν, μεγάλα δὲ καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός. ἧς ἡ Χάρις εἴη μεθ᾽ ἡμῶν.

Νεόφυτος Ἱεροδιάκονος Πελοποννήσιος
ὁ Καυσοκαλυβίτης.

αψο᾽. Αὐγούστου, ιδ᾽. ἐν Στεφανοπόλει τῆς Τρανσυλβανίας.

---

(8) Σεβαστὸς ὁ Τραπεζούντιος, ἀνὴρ σοφώτατος, καὶ Διδάσκαλος, κατὰ τὸ 1700, ἔτος, τῆς ἐν Βουκουρεστίῳ Αὐθεντικῆς Σχολῆς, §. ὁμοίως καὶ Γεώργιος ὁ Τραπεζούντιος, καὶ Διδάσκαλος τῆς αὐτῆς Σχολῆς, κατὰ τὸ, 1730, χρηματίσας. Ἐν τοῖς τούτων διαφόροις Σημειώμασιν εὑρέθησαν καί τινα περὶ τῆς Ἱερᾶς Μονῆς ταύτης, παρ᾽ ἐλλογίμῳ ἀνδρὶ Λαζάρῳ Σκύβρᾳ Τραπεζουντίῳ, τῷ καὶ Σκρίβᾳ καλουμένῳ, παροίκῳ τῆς Μονῆς ταύτης, Διδασκάλῳ τε καὶ Γραμματικῷ, κατὰ τὸ, 1720, ἔτος, τῶν Ἐκλαμπροτάτων Αὐθεντῶν τῆς Οὐγκροβλαχίας, Ἰωάννου Νικολάου Ἀλεξάνδρου Βοεβόνδα τοῦ Μαυροκορδάτου, καὶ τοῦ υἱοῦ αὐτοῦ, Ἰωάννου Κωνσταντίνου Νικολάου Βοεβόνδα. §. Ἔτι Ἰωάννης Μουσικὸς τοὐπίκλην Πούπουλας Τραπεζούντιος, ἐποίησε καὶ αὐτὸς Ἱστορικὸν τῆς Μονῆς ἐν Συνόψει, καὶ τὴν Ἀκολουθίαν τῶν Ὁσίων Πατέρων, κατὰ τὸ, 1762. Χειρογρ. §. Πρὸς τούτοις δὲ καὶ Νικόλαος ὁ Βουλαρᾶς, ἀνὴρ σοφώτατος, παρὰ τῷ Ἐνδοξοτάτῳ Ἄρχοντι Μεγάλῳ Μπάνῳ Κυρίῳ Δημητρίῳ Γκίκᾳ ἐν Βουκουρεστίῳ τῆς Οὐγκροβλαχίας, κατὰ τὸ 1768, ἔτος, συνέθετο καὶ αὐτὸς Περιγραφὴν συνοπτικὴν τῆς Μονῆς. Χειρογρ.

(9) Νεόφυτος Ἱεροδιάκονος Πελοποννήσιος, Μεγαλόσχημος ἐκ τοῦ Καυσοκαλύβου τοῦ Ἄθωνος, ἀνὴρ σοφώτατος, καὶ ἐντελέστατος Γραμματικὸς, καὶ τῆς Ἐκκλησίας Κανονικὸς ἄριστος, οὗτος ἀνὰ χεῖρας λαβὼν τὰ Συγγράμματα τῶν ἄνωθεν, οὐχὶ τὰ τούτων Αὐτόγραφα, (ἐπεὶ οὐ πάντα σώζονται) ἀλλὰ τὰ Ἀντίγραφα. ἐξ ὧν μετ᾽ ἀκριβείας συνερανισάμενος τὰ ἀναγκαιότερα, ὅσον τὸ δυνατὸν, συνέγραψε ταῖς ἀμφοτέραις διαλέκτοις, Ἑλληνικῇ καὶ Ἁπλῇ, κατὰ πλάτος τὴν Ἱστορίαν ταύτης τῆς Βασιλικῆς καὶ Ἱερᾶς Μονῆς τοῦ Σουμελᾶ. καὶ τὴν Ἀκολουθίαν τῶν Ὁσίων Πατέρων Βαρνάβα Σωφρονίου τε, τῶν ἐξ Ἀθηνῶν, καὶ τοῦ ἱεροῦ Χριστοφόρου, ἐν ἔτει, 1770, ἀπὸ Χριστοῦ, ἐν πόλει τῆς Τρανσυλβανίας, τοῦ Καίσαρος, Κορώνῃ, καὶ Στεφανοπόλει, καὶ κοινῶς Μπασόβι λεγομένῃ.

10) Τελευταῖον καὶ παρ᾽ ἐμοῦ διαφόροις Σημειώμασιν ἡ Βίβλος αὕτη ἐκαλλωπίσθη. ἔτι καὶ κατ᾽ ἐπιτομὴν ἡ Ἱστορία τῆς Μονῆς ταύτης, καὶ τῶν Βασιλέων τῆς Τραπεζοῦντος ἐγράφη, καὶ ἐξεδόθη εἰς τύπον, ἐν Λειψίᾳ τῆς Σαξωνίας, κατὰ τὸ, 1775, ἔτος, ἀπὸ Χριστοῦ, τῇ πρώτῃ τοῦ Μαρτίου Μηνός. Π. ἈΡ. Τ. Μ.

Τίνες

## Τίνες τε, καὶ ὅσοι τὰ περὶ τοῦ ὄρους Μελᾶ διηγήσαντο.

### Διὰ Στίχων Ἰαμβικῶν.

ΠΡὶν ἢ διέλθῃς συγγραφὴν τοῦ βιβλίου
Γίγνωσκε, πρῶτον τοῦ Μελᾶ συνιστόρων.
Τὸν Ξιφιλῖνον εὐαγῆ Ἀρχιθύτην,
Ποτ᾽ ὄντα Ῥώμης τῆς Νέας Ἰωάννην,
Σοφόν τε Δουσίθειον Ἱροσαλύμων,
Τὸν Ἱεράρχην εἶτα Τραπεζουντίων
Ἀθανάσιόν Δαιμόνων Καταλύτην,
Τὸν Χαλδίας τε Διονύσιον γ᾽ ἅμα
Ἀκάκιον τε Ἱερὸν Σαββαΐτην.
Ἕκτον γε Νικόδημον ἐκ τῆς Κολχίδος,
Πάντας σποράδην συγγεγραφότας Λόγους,
Μελᾶ τε χάριν ἡγιασμένου ὄρους.
Νεόφυτον δὲ τὸν Καυσοκαλυβίτην
Ἴσθ᾽ ἕβδομόν μοι, ἔσχατόν τ᾽ ἐξ Ἀπίας
Σοφὸν Φιλεργὸν Ἱερὸν Διάκονον
Τὸν ἐκκαθάραντ᾽ ἐκ προεσκιασμένης,
Τρανσυλβανίας ἐς Κορώνην τὴν πόλιν,
Παλαιότητι κἀμαθίᾳ Γραφέων,
Ἐκδόντα θ᾽ ἡμῖν προσκεκαλλωπισμένην.
Ἐπὶ Χριστοφόρου τε Καθηγουμένου
Θεόφρονος Φωστῆρος ἐν Λαύρᾳ Μελᾶ
Ὄρους ἀπόπτου Τραπεζουντίας πέλας
Ὁ Θειόπαις Μαρία ᾑρετίσατο.
Ὁ δ᾽ αὖ συνεργὸς εὐστόχως παντὶ σθένει
Σπουδῇ Δαπάνῃ καὶ συναγωνίσμασι,
Τῇ τοῦ Θεοῦ Χάριτι Ἀρχιμανδρίτης
Ἦν Παρθένιος, Σουμελιωτῶν χολ...
Μεταξόπουλος ἐκ Τραπεζοῦντος κλυτῆς.
Ἀπὸ Χριστοῦ δὲ, Ἑβδομηκοστῷ ἔτει
Ἑπτακοσίοις τοῖσδε πρὸς καὶ Χιλίοις.
Ταῦτα προγνοὺς ἥδιστα τὴν Βίβλον δέχου,
Καὶ πρὸς Θεὸν μέμνησο τῶν κεκμηκότων.

### Ἕτεροι.

ΠΡάξεις Ὁσίων, κ᾽ ἔργα τῶν ἐναρέτων
Συμβάντα καὶ πραχθέντα, πᾶς μαθεῖν θέλων



Ταύτην

Ταύτην Βίβλον δίελθε, τοῖς γεγραμμένοις
Τὸν νοῦν ἐφιςῶν πᾶσι, μή τι πού λάθοι,
Ὅπως μιμητὴς ἀξίως τούτων γένῃ.
Σὺ καὶ παριςῶν ταῦτα τοῖς οὐκ εἰδόσι
Λήψῃ ἀληθῶς τὴν ἄνω Κληρουχίαν.

Ἕτεροι.

Εἰ φρικτὸν ἐν γῇ τοῦ Θεοῦ ζητεῖς Θρόνον,
Σπουδῇ πορεύου εἰς τὸ τοῦ Μελᾶ Ὄρος,
Ἰδὼν τὸν Οἶκον, θαύμασον τῆς Παρθένου.
Ἡ γὰρ φέρουσα τὸν Θεὸν ταῖς ἀγκάλαις,
Φέρει τὸν αὐτὸν εἰς τὸ τοῦ τόπου σέβας.
Κιβωτὸς ἐςὶ τῆς πρὶν ἐνθεεςέρα,
Οὐ τὰς πλάκας φέρουσα τὰς θεογράφους,
Ἀλλ᾽ αὐτὸν ἔνδον τὸν Θεὸν δεδεγμένη.
Ἐνταῦθα κρουνοὶ σαρκικῶν καθαρσίων
Καὶ ψυχικὴ λύτρωσις ἀγνοημάτων.
Ὅσαι γὰρ εἰσὶ προσβολαὶ παθημάτων,
Βλύζει τοσούτων δωρεὰς τῶν θαυμάτων.

Ἕτεροι, εἰς τὸ ἡγιασμένον ὄρος τοῦ Σουμελᾶ.

Ὄρος Μελᾶ χαῖρ᾽ Εἰκόν᾽ Ἁγίαν ἔχον
Ἁγνῆς Μαρίας Μητέρος Θεοῦ Λόγου,
Ἥν ἱςορήθη χειρὶ Λουκᾶ τοῦ πάνυ.
Καὶ τῶν Ὁσίων Λείψανα ἡγνισμένα,
Τοῦ Σωφρονίου, Βαρνάβα, Χριςοφόρου
Τῶν ὑπὲρ ἡμῶν Κυρίῳ αἰτουμένων.

Ἕτεροι, πρὸς τὴν Ζωοδόχον Πηγήν.

Ἔβλυσε καὶ πρὶν νᾶμα τῷ Λαῷ Πέτρα,
Χριςὸν δὲ ταύτην μυςικοὶ φασι Λόγοι,
Ὃ καὶ ποτίζει Νέκταρ εἰς ἀφθαρσίαν.
Μήτηρ δὲ Χριςοῦ, Δευτέρα πάλιν Πέτρα,
Ζηλοῖ τὸν Υἱόν, καὶ ῥέει Ζωῆς ὕδωρ.
Πάντες δέχεσθε συντρέχοντες τὴν Χάριν.

Ἕτεροι, πρὸς τὴν Θεοτόκον.

Ζωῆς ἐγὼ βλέπω σε Πηγήν, Παρθένε,
Πᾶσαν φλόγα σβεννύεις παντὸς κινδύνου.
Σὺ γὰρ ἀναψυχεῖς με τοῖς τερασίοις,
Ἀφθαρσίας φέρουσα τοῖς κόλποις φλέβας.

Ἕτεροι

Ἕτεροι Στίχοι τοῦ Σοφωτάτου Κυρίου Νικολάου Βελαρᾶ.

Ὡς ἀπὸ τῆς Θεοτόκου πρὸς τοὺς ἐν τῷ Ὄρει.

Ὄρει προσελθὼν τῷ Μελᾶ φεύγων πάγην,
Ἰλὺν θ᾽ ὑπερβὰς, καὶ πέδας τοῦ συνθέτου
Τρέξεις ἀρίςως γλυκεροῦ φάους δρόμον.
Ἕξεις ἀεί με Προςάτην τοῦ σοῦ βίου,
Καὶ Πρέσβιν εὐπρόσδεκτον εἰς ἐμὸν Τέκος.

Τοῦ αὐτοῦ

Ὡς ἀπ᾽ αὐτῶν πρὸς τὴν Θεοτόκον, καὶ πρὸς ἀλλήλους.

Δεῦτ᾽ ἀναβῶμεν εὐδρομοῦντες εὐςόχως
Ὄρος Πανάγνῳ ἠρετισμένον, φίλοι.
Γνόφον λίπωμεν, καὶ σκιὰν τὴν τοῦ Νόμου,
Ἣν ἐν Σιναίῳ λαὸς ἐξήσκει πάλαι.
Πλάκες, Βάτος τε, ὡς σκιὰ παρελθέτω,
Ἡ Χάρις ἦλθεν, ὧδε οἰκεῖ Παρθένος,
Δι᾽ ἧς πέφηνε πᾶσιν ἡ Σωτηρία.
Χαῖρ᾽ ὦ Κόρη, πάγχαρτε, Μῆτερ τοῦ Λόγου
Δέσποινα, Παντάνασσα, χάρμα τοῦ Γένους
Σύνταξον ἡμᾶς λατρίας σοῦς, Παρθένε,
Σὺν εὐαρεςήσασι Χριςῷ φιλάγνως.

Ὡς ἀπὸ τοῦ Βασιλέως Ἀλεξίου τοῦ Κομνηνοῦ

πρὸς τὴν Θεοτόκον.

Ῥύσιν σε εἰδὼς εἰς ἀνάγκην μου, Κόρη,
Χρεωςικῶς σου δοῦλος ὑπάρχω, πάντα,
Καὶ σὴν Μονὴν τὴν ἐν Μελᾶ ἀνακτίσω.

Ὡς ἀπὸ τοῦ Σουλτὰν Σελήμ.

Μαρία, κήρυξ θαύματος πέλω Μέγας
Νόσου λυτρωθεὶς διὰ Σοῦ παραδόξως,
Τιμῶ σε κἀγὼ ὡς Βασιλεὺς Ῥωμαίων.

Ὡς ἀπὸ τοῦ Σουλτὰν Μουρὰθ.

Δεῖξόν με ὡς πρὶν ἴασω Βασιλέα
Καὐτὸν νικητήν, Μαρία, τῆς Περσίδος.

Ἀκρο-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἀκροστίχοις πρόσελθε καὶ γνώσῃ Τίνων·

πρὸς τὴν Θεοτόκον.

Εὐχὰς δέδεξο καρδίας τεθλιμμένης
Ὕπερθεν ἔνθα δάπεδον ναίεις Πόλου.
Γένους βροτείου οἶδα γάρ σε Προστάτιν
Ἐξ οὗ Θεοῦ πέφηνας μήτηρ Παρθένε.
Νεκρὸν μ' ἀναζώωσον σῇ ποδηγίᾳ,
Ἰλὺν κάθαρον ψυχικῶν ἁμαρτάδων,
Ὅλον με πηλοῦ, κ' ἀκαθαρσίας πλύνον.
Σός εἰμι σῶσόν μ' ὡς αὐτὴ θέλεις Κόρη.

Εὐγένειος Ἱερομόναχος Σουμελιώτης.

Αἰνῶ Σε πόθῳ τοῦ Θεοῦ τὴν Μητέρα.

ΠΑ'ναγνε Μῆτερ, τοῦ Θεοῦ Λόγου, Κόρη,
Ἀναξίου σου οἰκέτου Δῶρον δέχου,
Ὕμνον ταπεινὸν, Σοὶ πόθῳ τεθυμένον,
Λυγρῶς πεσόντος ἐν σκότει τῶν πταισμάτων
Ὁλοψύχως κράζοντος, Ἁγνὴ μὲ λάβε
Σοῦ τῆς Μερίδος δεξιὸν παραστάτην.

ὁ σὸς Παρθένε

ταπεινὸς Δοῦλος

Παῦλος, ὁ καὶ Παρθένιος

ὁ Μεταξόπουλος.



# Η ΘΕΙ'Α ΚΑῚ ἹΕΡᾺ

# ἈΚΟΛΟΥΘΙ'Α

Τῶν Ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν
Βαρνάβα καὶ Σωφρονίου ἐξ Ἀθηνῶν,
καὶ τοῦ Ἱεροῦ Χριστοφόρου· Τῶν ἐν τῷ
Μελᾶ Ὄρει ἀσκησάντων.

# ΨΑΛΛΟΜΈΝΗ

Τῇ Δεκάτῃ ὀγδόῃ τοῦ Αὐγούστου Μηνός.
Καὶ ἐν τῷ καιρῷ τῶν Ἀκρίδων.
Συντεθεῖσα παρὰ τοῦ Σοφωτάτου Διδασκάλου
Κυρίου Νεοφύτου Ἱεροδιακόνου
Πελοποννησίου τοῦ Καυσοκαλυβίτου.

Ἐν τῷ Μικρῷ Ἑσπερινῷ Ἱστῶμεν ϛ. δ. καὶ Ψάλλομεν
Προσόμοια, ἦχος, πλ. β'.
Τριήμερος ἀνέστης Χριστέ.

ΠΑτέρας τοὺς Θεόφρονας, ἐν ὕμνοις εὐφημήσωμεν, τὸν Βαρνάβαν καὶ Σωφρόνιον ὁμοῦ, μεθ' ὧν καὶ Χριστοφόρον, τοὺς ἐν ὑψίστοις ἅμα, ὑπὲρ ἡμῶν Χριστῷ πρεσβεύοντας.

ΤΟῖς πόνοις τῆς ἀσκήσεως, τῶν ἀρετῶν Μακάριοι, θείους οἴκους δεδειχότες ἑαυτοὺς, τὸν θεῖον τῆς Παρθένου, Ναὸν οἰκοδομῆσαι, καὶ κατοικεῖν κατηξιώθητε.

ΝΟὸς ῥωμαλαιότητι, παθῶν κατακρατήσαντες, Ἰατῆρες ἀνεδείχθητε παθῶν, καὶ νόσων πολυτρόπων, ζῶντες καὶ μεταστάντες. Θεῷ γὰρ ζῆτε αἰωνίζοντες.

ΤΩ͂ Θρόνῳ τῷ τῆς Χάριτος, παρεστηκότες Ὅσιοι, καὶ πλουσίου ἐμφορούμενοι Φωτὸς, τούτου ἀντανακλάσεις, αὐγοειδεῖς αἰτοῦμεν, καὶ ἡμῖν πέμπειν δυσωπήθητε.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

### Δόξα, ἦχος, β'.

Δεῦτε οἱ τῶν ὑπερκοσμίων ἐρασταί, τοὺς ὑπερόπτας τῶν κάτω, Θεοφόρους Πατέρας ἀνευφημήσωμεν, ᾀσμάτων ἄνθεσι, τὴν ἱερὰν αὐτῶν κατασέφοντες μνήμην· σαρκὸς γὰρ ἔξω καὶ κόσμου γενόμενοι, λόγῳ καὶ βίῳ τὸν Κύριον, ἐπὶ Γῆς ἐμεγάλυναν. ὅθεν καὶ κατ' ἀξίαν παρ' αὐτοῦ ἀντιδοξάζονται, ἰαμάτων ἄφθονα ῥεῖθρα πηγάζοντες.

### Καὶ νῦν, ἦχος, ὁ αὐτός.

Ἡ τῶν οὐρανῶν ὑψηλοτέρα ὑπάρχουσα, καὶ τῶν Χερουβὶμ ἐνδοξοτέρα, καὶ πάσης κτίσεως τιμιωτέρα. ἡ δι' ὑπερβάλλουσαν καθαρότητα, τῆς ἀϊδίου Οὐσίας Δοχεῖον γεγενημένη, ἐν ταῖς τοῦ Υἱοῦ χερσί, σήμερον τὴν παναγίαν παρατίθεται Ψυχήν, καὶ σὺν αὐτῇ πληροῦται τὰ Σύμπαντα χαρᾶς, καὶ ἡμῖν δωρεῖται τὸ μέγα ἔλεος.

### Εἰς τὸν Στίχ: Στιχ: Προσόμοια, ἦχος, β'.
### Οἶκος τοῦ Εὐφραθᾶ.

Δεῦτε τῶν Μοναστῶν, τὰ πλήθη συνελθόντες, τοὺς τῆς σεπτῆς Τριάδος, τρεῖς Θεοφόρους Μύστας, ἐν ὕμνοις εὐφημήσωμεν.

Στίχ: Καυχήσονται Ὅσιοι ἐν δόξῃ.

Τοῦ βίου τοῖς τερπνοῖς, πᾶσι χαίρειν εἰπόντες, καὶ τὸν Σταυρὸν ἐπ' ὤμων, ἀράμενοι προθύμως, Χριστῷ ἠκολουθήσατε.

Στίχ: Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται.

Κόσμος ἅπας ὑμῖν ἐσταύρωται καθ' ἅπαξ· καί γε ὑμεῖς τῷ Κόσμῳ· ἐζῆτε δὲ οὐκ ἔτι, ζῇ δὲ ἐν ὑμῖν Χριστός.

### Δόξα, Καὶ νῦν, Ὅμοιον.

Πάτερ Παμβασιλεῦ, καὶ Λόγε, καὶ τὸ Πνεῦμα, Τριὰς ἡ ἐν Μονάδι, διὰ τῆς Θεοτόκου, ἐλέησον τοὺς δούλους σου.

### Ἀπολυτίκιον, ἦχος, πλ. δ'.

Τῷ τῆς Θεόπαιδος χρισμῷ.
Τοὺς φαεινοὺς τρεῖς Φωστῆρας.
Ἐν τῇ γεννήσει τὴν Παρθενίαν.

Δόξα, Ἕτερον, ἦχος, α'.
Καὶ νῦν, ἦχος, ὁ αὐτός.

Ζήτει ἔμπροσθεν εἰς τὸ Τέλος τοῦ Ἑσπερινοῦ.

Ἐν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ



Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, στιχολογοῦμεν τό, Μακάριος Ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχ: η'. καὶ ψάλλομεν δ'. τῆς Ἑορτῆς, καὶ τῶν Ὁσίων δ'. Τῆς Ἑορτῆς Προσόμοια.

### ἦχος, α'. Αὐτόμελον.

Ὢ τοῦ παραδόξου θαύματος, ἡ πηγὴ τῆς ζωῆς ἐν μνημείῳ τίθεται, καὶ κλίμαξ πρὸς Οὐρανὸν ὁ τάφος γίνεται· εὐφραίνου Γεθσημανῆ, τῆς Θεοτόκου τὸ ἅγιον τέμενος· βοήσωμεν οἱ πιστοί, τὸν Γαβριὴλ κεκτημένοι ταξίαρχον. Κεχαριτωμένη Χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ Κόσμῳ διὰ σοῦ τὸ μέγα ἔλεος. Δίς.

Βαβαὶ τῶν σῶν μυστηρίων Ἁγνή· τοῦ Ὑψίστου θρόνος, ἀνεδείχθης Δέσποινα, καὶ γῆθεν πρὸς Οὐρανόν, μετέστης σήμερον. ἡ δόξα σου εὐπρεπής, θεοφεγγέσιν ἐκλάμπουσα χάρισι. Παρθένοι σὺν τῇ Μητρί, τοῦ Βασιλέως πρὸς ὕψος ἐπάρθητε. Κεχαριτωμένη Χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ Κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος.

Τὴν σὴν δοξάζουσι Κοίμησιν, Ἐξουσίαι Θρόνοι, Ἀρχαὶ Κυριότητες, Δυνάμεις καὶ Χερουβίμ, καὶ τὰ φρικτὰ Σεραφίμ. ἀγάλλονται γηγενεῖς, ἐπὶ τῇ θείᾳ σου Δόξῃ κοσμούμενοι. προσπίπτουσι Βασιλεῖς, σὺν Ἀρχαγγέλοις καὶ μέλπουσι. Κεχαριτωμένη Χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ Κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος.



Καὶ

### Καὶ τῶν Ὁσίων Προσόμοια, ἦχος, πλ. α΄.
### Ὅσιε Πάτερ.

ΠΑ'τερ Βαρνάβα, καὶ Σωφρόνιε θεόληπτε, τῶν ἄνω Πρωτοτόκων ὁμόσκηνοι Φωταυγεῖς, Χριστοῦ συγκληρονόμοι, υἱοὶ Ὑψίστου, Φῶς τὸ ἀνέσπερον οἰκοῦντες ὁμοῦ, καὶ τοῦ ὑπερκάλλου κάλλους κατατρυφῶντες, τοῦ ἀκροτάτου τῶν ἐφετῶν. ᾧ προφανῶς παρεστῶτες λελαμπρυσμένοι, καὶ ἐνηδόμενοι αὐτοῦ ταῖς φρυκτωρίαις, ταῖς θεωρίαις τε θεούμενοι ταῖς τούτου, Χριστῷ πρεσβεύσατε, Χριστὸν αἰτεῖσθε Ὅσιοι, δωρηθῆναι τῇ Ἐκκλησίᾳ, ὁμόνοιαν εἰρήνην καὶ μέγα ἔλεος.

ΠΑ'τερ Βαρνάβα καὶ Σωφρόνιε θεόληπτε, Φωστῆρες μοναζόντων οἱ παμφαέστατοι, ἀγάπης ταῖς ἀκτῖσι πεπυρσευμένοι, πύργοι ἀκράδαντοι τῆς ὑπομονῆς, πίστεως Κανόνες, τῆς ἀρετῆς Εἰκόνες, τῶν ἰαμάτων οἱ ποταμοί, οἱ τῆς ἐρήμου πολύτεκνοι πολισταί, οἱ ὡς παράδεισον αὐτὴν δείξαντες θεῖον, ἐκ ταύτης τῷ Θεῷ τὸ ἐγκαρποφοροῦσαν. Χριστῷ πρεσβεύσατε, Χριστὸν αἰτεῖσθε Ὅσιοι, δωρηθῆναι τῇ Ἐκκλησίᾳ, ὁμόνοιαν εἰρήνην καὶ μέγα ἔλεος.

ΠΑ'τερ Βαρνάβα, καὶ Σωφρόνιε θεόληπτε, πυρσοὶ οἱ ἐκ Θαλάσσης τῆς κοσμικῆς τοὺς πιστοὺς, Λιμένα πρὸς τὸν ἄνω χειραγωγοῦντες, πλάνης τῶν Πνευμάτων οἱ ὀλοθρευταί, Πνεύματος Ἁγίου τὰ ἔμψυχα τεμένη, τὰ ἐκμαγεῖα τῶν ἐντολῶν, ἠκριβωμέναι τε στάθμαι τῆς ἐγκρατείας, τῆς ταπεινώσεως ὕψη οὐρανομήκη, κρῆναι πηγάζουσαι πελάγη τῶν θαυμάτων. Χριστῷ πρεσβεύσατε, Χριστὸν αἰτεῖσθε Ὅσιοι, δωρηθῆναι τῇ Ἐκκλησίᾳ, ὁμόνοιαν εἰρήνην καὶ μέγα ἔλεος.

ὍΣιε Πάτερ, Χριστοφόρε χριστεπώνυμε, Χριστοῦ πιστὲ θεράπων καὶ ἱερώτατε, κειμήλιον Τριάδος τῆς ὑπερφώτου. ὡς γὰρ ἐπόθει τὴν σὴν εὑροῦσα Ψυχὴν, Πνεύματος ἡ Χάρις, τοῦ θείου Θεοφόρε, ἐνῴκισέ σοι Φῶς τὸ τρισσόν. οὗ τῇ ἐνεργείᾳ φαιδρῶς ἠγλαϊσμένος, Χριστοῦ κατέστης ἱερουργὸς, ἀκαιραιότητι τρόπων προχειρισθεὶς, ἐξ ἀροτῆρος γῆς, τῆς Θεοτόκου λάτρης, τῶν Μυστηρίων τε λειτουργὸς τοῦ Κυρίου. αὐτὸν ἱκέτευε, αὐτὸν δυσώπει Ὅσιε, δωρηθῆναι τῇ Ἐκκλησίᾳ, ὁμόνοιαν εἰρήνην καὶ μέγα ἔλεος.

### Δόξα, ἦχος, πλ. δ΄.

ΤΗ'ν τῶν Πατέρων καλλονὴν, τῶν Ἀσκητῶν τὸ κλέος, τοὺς φαεινοὺς Φωστῆρας, καὶ ποδηγέτας τῶν μονοτρόπων, Βαρνάβαν τὸν ἀοίδιμον, καὶ Σωφρόνιον τὸν κλεινὸν, καὶ τὸν σοφὸν Χριστοφόρον, ἐν ᾠδαῖς πνευματικαῖς, εὐφημήσωμεν λέγοντες, Μακάριοί ἐστε, Θεοφόροι Πατέρες. Τὸ γὰρ κατ' εἰκόνα τηρήσαντες ἄτρωτον, παθῶν αὐτοκράτορα, τὸν νοῦν ἐνστησάμενοι, εἰς τὸ καθ' ὁμοίωσιν ὡς ἐφικτὸν ἀνηνέχθητε. ἀσκητικῶς γὰρ τὴν Φύσιν ἐκβιασάμενοι,



μενοι, τὸ χεῖρον τῷ κρείττονι, ἐμφρόνως ὑπετάξατε, τὴν σάρκα τῷ Πνεύματι δουλώσαντες. ὅθεν μοναζόντων ἀνεδείχθητε ἄκροι, πολισταὶ τῆς ἐρήμου, εὐδρομούντων ἀλεῖπται, Κανόνες ἀρετῆς ἀκριβέστατοι. καὶ νῦν ἐν Οὐρανοῖς, τῶν ἐσόπτρων λυθέντων, χωρήσαντες, ἀτενῶς καθορᾶτε τὴν ἁγίαν Τριάδα, δυσωποῦντες ἀμέσως, ὑπὲρ τῶν πίστει τιμώντων ὑμᾶς.

### Καὶ νῦν, ἦχος, ὁ αὐτός.

ΠΙστούμενος Ἰησοῦς, ὁ Υἱός σου Θεοτόκε, καὶ Θεὸς ἡμῶν, τὰς δύω Φύσεις αὐτοῦ, ὡς μὲν Ἄνθρωπος θνήσκει, ὡς δὲ Θεὸς ἐξανίσταται. καὶ σὲ Θεομήτορ, νόμῳ Φύσεως θανεῖν εὐδόκησεν, ἵνα μὴ τοῖς ἀπίστοις, Φαντασία νομισθῇ ἡ Οἰκονομία. μετέβης δὲ πρὸς Οὐρανοὺς Νύμφη, ὡς ἐκ παστοῦ τοῦ σκήνους σου, γῆθεν ἀπάρασα. ἡγιάσθη ὁ Αἰθὴρ ἐν τῇ ἀνόδῳ σου, ὡς ἐφωτίσθη ἡ Γῆ ἐν τῷ τόκῳ σου. προπέμπουσιν Ἀπόστολοι, καὶ Ἄγγελοι ὑποδέχονται. ὅθεν κηδεύσαντες τὸ πανάχραντον Σῶμά σου, καὶ ἐπιτάφιον Ὕμνον ἐξᾴδοντες, μετάρσιον ἔβλεπον, καὶ Φόβῳ ἔλεγον. Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου. αὐτὸς γὰρ ἐν μέσῳ σου, καὶ οὐ σαλευθήσῃ. ἀλλ' ὦ Πολυύμνητε Κόρη, μὴ διαλίπῃς ἡμᾶς ἐποπτεύουσα. ἡμεῖς γὰρ Λαός σου, καὶ Πρόβατα νομῆς σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα. αἰτούμενοι διὰ σοῦ Σωτηρίαν, καὶ μέγα ἔλεος.

### Εἴσοδος. Φῶς ἱλαρόν. τὸ Προκείμενον τῆς ἡμέρας.
### καὶ τὰ Ἀναγνώσματα.

### Βασιλειῶν τρίτης τὸ Ἀνάγνωσμα.

ἜΣτη Σολομῶν κατὰ πρόσωπον τοῦ Θυσιαστηρίου Κυρίου, ἐνώπιον πάσης Ἐκ- Κεφ. η΄.
κλησίας Ἰσραὴλ, καὶ διεπέτασε τὰς χεῖρας αὐτοῦ εἰς τὸν Οὐρανὸν, καὶ εἶπε· 22.
Κύριε ὁ Θεὸς Ἰσραὴλ, οὐκ ἔστι Θεὸς, ὡς σὺ, ἐν τῷ Οὐρανῷ ἄνω, καὶ ἐπὶ τῆς Γῆς κάτω. εἰ ὁ Οὐρανὸς τοῦ Οὐρανοῦ οὐκ ἀρκέσουσί σοι, πῶς ὁ Οἶκος οὗτος, ὃν ᾠκοδόμησα ἐν τῷ ὀνόματί σου; πλὴν καὶ ἐπιβλέψεις ἐπὶ τὴν δέησίν μου, Κύριε ὁ Θεὸς Ἰσραὴλ, ἀκούειν τῆς δεήσεως καὶ τῆς προσευχῆς, ἧς ὁ Δοῦλός σου προσεύχεται ἐνώπιόν σου, πρὸς σὲ σήμερον, τοῦ εἶναι τοὺς ὀφθαλμούς σου ἀνεῳγμένους εἰς τὸν Οἶκον τοῦτον, ὃν εἶπας, ἔσται τὸ ὄνομά σου ἐκεῖ, τοῦ εἰσακούειν τῆς προσευχῆς, ἧς προσεύχεται ὁ Δοῦλός σου εἰς τὸν τόπον τοῦτον ἡμέρας, καὶ νυκτός· καὶ εἰσακούσῃ τῆς δεήσεως τοῦ Δούλου σου καὶ τοῦ Λαοῦ σου Ἰσραὴλ, ὃ ἂν προσεύξονται εἰς τὸν τόπον τοῦτον. καὶ σὺ εἰσακούσῃ εἰς τὸν τόπον τῆς κατοικήσεώς σου ἐν τῷ Οὐρανῷ, καὶ ποιήσῃς, καὶ ἵλεως ἔσῃ αὐτοῖς.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

ΔΊκαιοι εἰς τὸν Αἰῶνα ζῶσι· καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ Φροντὶς Κεφ. ε΄.
αὐτῶν παρὰ Ὑψίστῳ. διὰ τοῦτο λήψονται τὸ Βασίλειον τῆς εὐπρεπείας, καὶ 15.
τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ

λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ,
καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. ἐνδύσεται θώρακα δικαιοσύ-
καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. λήψεται ἀσπίδα ἀκατα-
νην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. συνεκπολε-
μάχητον, ὁσιότητα. ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. πορεύσονται εὔςοχοι βο-
μήσει αὐτῷ ὁ Κόσμος ἐπὶ τοὺς παράφρονας. πορεύσονται εὔςοχοι βο-
λίδες ἀςραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλȣ τόξȣ τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλȣ͂ν-
ται. καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήζονται χάλαζαι. ἀγανακτή-
σει κατ' αὐτῶν ὕδωρ Θαλάσσης, ποταμοὶ δὲ συγκλείσȣσιν ἀποτόμως. ἀντι-
ςήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς. καὶ
ἐρημώσει πᾶσαν τὴν Γῆν ἀνομία. καὶ ἡ κακοπραγία περιτρέψει θρόνȣς Δυνα-
ςῶν. ἀκȣ́σατε ȣ͂ν Βασιλεῖς καὶ σύνετε. μάθετε Δικαςαὶ περάτων Γῆς. ἐνω-
τίσασθε οἱ κρατȣ͂ντες πλήθȣς, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. ὅτι ἐδό-
θη παρὰ Κυρίȣ ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναςεία παρὰ Ὑψίςȣ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

ἐφ. γ'. Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔςαι. γῆρας γὰρ τίμιον, οὐ
7. τὸ πολυχρόνιον, ȣ̓́τε ἀριθμῷ ἐτῶν μεμέτρηται. πολιὰ δέ ἐςι, φρόνησις Ἀν-
θρώπων. καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. εὐάρεςος Θεῷ γενόμενος, ἠ-
γαπήθη. καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. ἡρπάγη, μὴ κακία ἀλλά-
ξῃ σύνεσιν αὐτȣ͂, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτȣ͂. Βασκανία γὰρ φαυλότητος
ἀμαυροῖ τὰ καλὰ, καὶ ῥεμβασμὸς ἐπιθυμίας, μεταλλεύει νȣ͂ν ἄκακον. τε-
λειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνȣς μακρȣ́ς. ἀρεςὴ γὰρ ἦν Κυρίῳ ἡ Ψυχὴ
αὐτȣ͂. διὰ τȣ͂το ἔσπευσεν ἐκ μέσȣ πονηρίας. οἱ δὲ Λαοὶ ἰδόντες καὶ μὴ νοή-
σαντες, μὴ δὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιȣ͂τον. ὅτι Χάρις καὶ ἔλεος ἐν τοῖς
Ὁσίοις αὐτȣ͂, καὶ ἐπισκοπὴ ἐν τοῖς Ἐκλεκτοῖς αὐτȣ͂.

## Εἰς τὴν Λιτὴν, Στιχηρὰ Ἰδιόμελα.

ἦχος, α'.

Πατέρες Θεόφρονες, τῶν ἀσκητικῶν ἀγώνων τὰ εὐώδη κειμήλια, ὑμεῖς τὸν Σταυρὸν ἐπ' ὤμων ἄραντες, σαρκὸς ἐπατήσατε, τὸ χαμαίζηλον φρόνημα· ταῖς ἀρεταῖς δὲ φαιδρύναντες τὴν Ψυχὴν, πρὸς ἔρωτα ἐπτερώθητε θεῖον, σαρκὸς ἔξω καὶ κόσμȣ γενόμενοι. καὶ νῦν ἐν Οὐρανοῖς σὺν Ἀγγέλοις ὑμνεῖτε, Τριάδα τὴν ὁμοȣ́σιον.

ἦχος, β'.

Τῷ τȣ͂ Πνεύματος πυρὶ Θεοφόροι προσομιλήσαντες, θεοφεγγεῖς ἄνθρακες, ἐν Κόσμῳ ἐδείχθητε, καταλαμπρύνοντες Ψυχὰς, τῶν ὑμῖν προσιόντων, πρὸς Φῶς τὸ ἀνέσπερον ὁδηγȣ͂ντες αὐτȣ́ς· ὀλεθρίων δὲ παθῶν τȣ̀ς ἐρημικȣ̀ς ἄνθρακας, τῇ δρόσῳ τȣ͂ Πνεύματος καταμαράναντες, παθῶν ἀνεδείχθητε, χαλεπῶν ἰατῆρες, καὶ πρεσβευταὶ τῶν Ψυχῶν ἡμῶν.

ἦχος,



ἦχος, γ'.

Ἐρράγη ἐν Ἐρήμῳ ταῖς προσευχαῖς ὑμῶν, Ὕδωρ ἀέναον, ἐξ ἀκροτόμου πέτρας ἀναδιδόμενον· καὶ Γῆ ἡ διψῶσα, εἰς ἕλη κατεσκεύαςαι, τῶν ἀσκητῶν τὸ σύςημα, δαψιλῶς καταρδεύȣσα. πεφυτευμένοι γὰρ ἐν αὐλαῖς τοῦ Κυρίȣ, Ὅσιοι, ὡς φοίνιξ ἐξανθήσατε, καὶ ὡς ἡ Κέδρος ἡ ἐν τῷ Λιβάνῳ, τὴν ἄτεκνον χώραν, ἐπὶ τέκνοις δείξαντες, εὐφραινομένην.

ἦχος, δ'.

Νόμῳ Θεȣ͂ τὰς αἰσθήσεις παιδαγωγήσαντες, τὸν Νȣ͂ν πρὸς κατανόησιν τῶν νοητῶν, ἐπιτήδειον κατεςήσατε, ἀναβάσεις ἐν Καρδίᾳ διατιθέμενοι, καὶ ἀπὸ δόξης εἰς δόξαν ἀνενδότως προβαίνοντες· καὶ θείοις θεωρήμασι τὴν Ψυχὴν ἀνακαθαίροντες, πνευματικῶν Χαρισμάτων χωρητικὴν εἰργάσασθε. ὅθεν καὶ τὴν τῶν Θαυμάτων ἐνέργειαν πλȣσίως δεξάμενοι, Ψυχῶν καὶ Σωμάτων ἰατροὶ, ἀνεδείχθητε Μακάριοι.

ἦχος, πλ. α'. Διονυσίȣ Χαλδίας.

Δεῦτε ἐπαρθέντες ἐν Πνεύματι, Ὄρος εἰς Μελέα ἀνέλθωμεν, ἔνθα κατεσκήνωσε, χάριτι ὁ Χριςοφόρος, μετὰ Βαρνάβα καὶ Σωφρονίȣ καλῶς· σήμερον γὰρ συγκαλȣ͂σι θερμῶς, ἡμᾶς εἰς ἑςίασιν, πνευματικὴν Τράπεζαν ἅπασι προθέμενοι. ὅθεν καὶ ἡμεῖς πανδημεὶ, ἐν τῇ σεπτῇ αὐτῶν πανηγύρει, χαρμοσύνως συνέλθωμεν, αἴνεσιν καρπὸν χειλέων ὁμολογȣ͂ντες, τῷ Ποιητῇ τῶν ὅλων καὶ πρυτάνει. σὺν αὐτοῖς ȣ͂ν βοῶμεν ὁμοφώνως, τοῖς ὁσίοις Καθηγηταῖς τῆς Μονῆς. Ἄναρχε Θεὲ Πάτερ, Υἱὲ, σὺν τῷ Πνεύματι, τὸν Ναὸν τȣ͂τον φύλαξον, καὶ τȣ̀ς πιςῶς προστρέχοντας, τῆς Παρθένȣ ταῖς πρεσβείαις, καὶ ἱκεσίαις καμπτόμενος.

ἦχος, πλ. β'. τȣ͂ αὐτȣ͂.

Σήμερον τὸ σπήλαιον εὐφραίνεται φαιδρῶς, καὶ ἡ Ἔρημος ἀγάλλεται πιςῶς, ἐπὶ τῇ μνήμῃ Βαρνάβα, Σωφρονίȣ τε καὶ Χριςοφόρȣ· ἡ γὰρ παρȣ͂σα Ἑορτὴ, ἐπέςη ἡμῖν ὡς ἄνθος ὡραιότατον εὐωδιάζȣσα ἡμᾶς· δι' ὃ ἐν ᾄσμασι σέψωμεν τȣ̀ς θεοφόρȣς Πατέρας ἡμῶν, τȣ̀ς οἰκιςὰς τῆς ἐρήμȣ. ςαθερῶς γὰρ τὸ ἀσκητικὸν ςάδιον διήνυσαν, ὑπενεγκόντες ἅπαν λυπηρὸν, διὰ τὰς ἄνω Μονὰς, ἃς ἐπεπόθησαν ἐν Γῇ. δι' ὃ καὶ τὸν δεσποτικὸν εὐκλεῶς περικυκλȣ͂ντες Θρόνον, πρεσβεύȣσι σωθῆναι τὰς Ψυχὰς ἡμῶν.

ἦχος, βαρὺς, τȣ͂ αὐτȣ͂.

Δεῦτε ἅπασαι χορεῖαι τῶν Πιςῶν, ἐν ᾠδαῖς τιμήσωμεν, τȣ̀ς λατρευτὰς τῆς μιᾶς Θεότητος, Χριςοφόρον τὸν ἱερὸν, καὶ τὸν κλεινὸν Σωφρόνιον μακαρίζοντες, σὺν Βαρνάβᾳ τῷ θείῳ· ςεῤῥῶς καὶ γὰρ ȣ̓͂τοι τὸν τȣ͂ σκότȣς Ἄρ-

χοντα

χοντα καθελόντες, ἐν αὐλαῖς Δικαίων, δυσωποῦσιν ἐκτενῶς, τὴν ἁγίαν Τριάδα, ὑπὲρ τῶν τελούντων τὴν θείαν Μνήμην αὐτῶν.

ἦχος, πλ. δ΄. Παύλου τοῦ Μεταξοπούλου.

ΘΕία κελεύσει ἐξ Ἀθηνῶν, διὰ τῆς Θεομητορικῆς Εἰκόνος, τὸ Ὄρος τοῦ Μελέα κατελάβετε, καθ᾽ ὁδὸν θαυματουργοῦντες· τοῦ γὰρ Ποταμοῦ τὸ ῥεῖθρον τῇ πρὸς Θεὸν εὐχῇ διαῤῥήξαντες, ποσὶν ἀβρόχοις ἐπεραιώθητε. κλινοπετῆ, ὡς ἄλλον Παράλυτον ἀνωρθώσατε· ἀκρίδων νέφος διὰ προσευχῆς ἀπηλάσατε· πρὸς Μετάνοιαν Λῃστὰς ἑλκύσαντες, Σωτηρίας αὐτοὺς ἠξιώσατε· ἀλλὰ καὶ ἐν τῷ Σπηλαίῳ τοῦ Μελέα, Ναὸν τῇ Θεοτόκῳ ἐγείραντες, Ὕδωρ ἁγιασμοῦ δι᾽ αὐτῆς ἀνεβλύσατε· καὶ Ἀῤῥαβῶνα τῆς μελλούσης ζωῆς, Σταυρὸν καὶ Κάρφος Ἐλαίας παρ᾽ αὐτῆς δεξάμενοι, εἰς Οὐρανοὺς στεφανῖται μετέστητε· ἀλλ᾽ ὦ Πατέρες Ὅσιοι, Βαρνάβα τε καὶ Σωφρόνιε, ὡς παριστάμενοι τῷ Θρόνῳ τῷ δεσποτικῷ, σὺν τῷ σοφῷ Χριστοφόρῳ, τῷ διὰ τῆς Πανάγνου φωτισθέντι, μὴ διαλείπητε ἀεὶ Χριστῷ πρεσβεύοντες, ὑπὲρ ἡμῶν τῶν τιμώντων ὑμᾶς.

Δόξα, Καὶ νῦν, ἦχος, α΄. Διονυσίου Χαλδίας.

ΘΕαρχίῳ νεύματι, ἄραντες οἱ Θεοφόροι Ἀθήνηθεν, μετὰ σπουδῆς εἰς τὴν Ἕω ἀνέδραμον. πλ. α΄. Καταλαβόντες τὸ Ἀνάκτορον, σὺν Σωφρονίῳ Βαρνάβας, ἐξόχως ἠσπάζοντο. ἦχος, β΄. Ἡ γὰρ ὑπερτάτη τῶν Οὐρανῶν Κυρία, τοῖς Θεοφόροις Πατράσι συμπαρεγίγνετο, κατασκευάζουσα ἐνδιαίτημα Ἄντρον θεόδμητον, τοῖς πόθῳ ἀπαίρουσι, τῶν ἐγκοσμίων εἰς Οὐράνια. πλ. β΄. Καὶ ἀναβάντες ἐβόων, ταῖς ἐμφωλευούσαις Χελιδόσιν, ἡμᾶς ἡ Παντάνασσα Θεόπαις συμπαρέπεμψεν. ἦχος, γ΄. Ἄρατε τοίνυν, ἵν᾽ ὧδε Βασιλικὸν Οἶκον δωμήσωμεν, εἰς Δόξαν καὶ Αἶνον τῆς ἀφθόρου Μητρός. Βαρύς. Διὰ ταύτης γὰρ ἡ παγγενὴς, τῶν βροτῶν σωτηρία γέγονεν· ἣν ὑπουργῆσαι ἐφιέμεθα. ἦχος, δ΄. Καὶ ταύτῃ ἄξιον Οἶκον μεθαρμόσαι τὸ Σπήλαιον· τούτου γὰρ ἕνεκα παρίδομεν πᾶσαν δόξαν πρόσκαιρον. πλ. δ΄. Δι᾽ ὃ Ἄχραντε Θεοτόκε, ἀεὶ σὺν τῷ Βαρνάβᾳ τῷ σοφῷ, Σωφρονίῳ τε καὶ Χριστοφόρῳ, πρέσβευε διηνεκῶς περιφρουρῆσαι καὶ σῶσαι, ἀπὸ πάσης προσβολῆς ἐναντίας τὴν Νεολέαν σου. τὴν γὰρ σὴν προστασίαν κεκτήμεθα. ἦχος, α΄. Εἰς τοὺς αἰῶνας ἀγλαοφανῶς Σὲ μακαρίζοντες.

Εἰς τὸν στίχ: στιχηρὰ Προσόμοια, ἦχος, α΄.

Πανεύφημοι μάρτυρες ὑμᾶς.

ΤΟὺς τρεῖς τῆς Τριάδος τῆς σεπτῆς, μύστας εὐφημήσωμεν, Βαρνάβαν τὸν ἱερώτατον, καὶ τὸν Σωφρόνιον, καὶ τὸν Χριστοφόρον, τοὺς πιστοὺς θεράποντας, καὶ



καὶ λάτρας τῆς Ἁγνῆς Θεομήτορος, τοὺς καὶ πρεσβεύοντας, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Στίχ: Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν.

ΠΑτέρες θεόφρονες, ὑμῶν ἡ Γῆ οὐ κατέκρυψε τὰ ἱερώτατα Σώματα. τῶν ἰαμάτων γὰρ, πηγὴ ἀνεδείχθη, ἀφθόνως βλυστάνοντα, παθῶν τὴν θεραπείαν τοῖς πάσχουσι, Ψυχὰς καὶ Σώματα, καὶ Δαιμόνων ἀπελαύνοντα, ἐπηρείας τῶν Πιστῶν ἑκάστοτε.

Στίχ: Καυχήσονται Ὅσιοι ἐν δόξῃ καὶ ἀ.

ΟἹ λόγῳ καὶ βίῳ ἀκριβεῖς, ἀρετῆς Διδάσκαλοι, τὰ ἀκηλίδωτα ἔσοπτρα, τοῦ θείου Πνεύματος, οἱ τοῦ τρισηλίου Φωτὸς τῶν ἐμφάσεων, λαμπρὰς μαρμαρυγὰς ἀπαστράπτοντες, οἱ τῷ τῆς χάριτος, Θρόνῳ ἅμα παριστάμενοι, δυσωπεῖτε ὑπὲρ τῶν Ψυχῶν ἡμῶν.

Δόξα, ἦχος, δ΄.

ΤΩν ὑπὲρ νοῦν ἀγαθῶν τρωθέντες τῷ ἔρωτι, πᾶσι τοῖς τοῦ βίου τερπνοῖς ἀπετάξασθε Ὅσιοι, τὸν ἐν τῷ τούτων καρπῷ κρυπτόμενον Ὄφιν δι᾽ ἐγκρατείας ἀποκρουσάμενοι. ὅθεν καὶ Βίον ἰσάγγελον ἐπὶ Γῆς πολιτευσάμενοι, νῦν ἐν Οὐρανοῖς, ἀπολαύετε τοῦ Ξύλου τῆς ζωῆς, ἀθανασίας τρυγῶντες, καρποὺς τοὺς ἀκηράτους, καὶ πρεσβεύοντες πάντοτε Κυρίῳ, ἐλεηθῆναι τὰς Ψυχὰς ἡμῶν.

Καὶ νῦν, ἦχος, ὁ αὐτός.

ΤΗν πάνσεπτόν σου Κοίμησιν παναγία Παρθένε, Ἁγνὴ, τῶν Ἀγγέλων τὰ πλήθη ἐν Οὐρανῷ, καὶ Ἀνθρώπων τὸ γένος ἐπὶ τῆς Γῆς μακαρίζομεν. ὅτι Μήτηρ γέγονας τοῦ ποιητοῦ τῶν ἁπάντων Χριστοῦ τοῦ Θεοῦ. αὐτὸν ἱκετεύουσα, ὑπὲρ ἡμῶν μὴ παύσῃ δεόμεθα τῶν εἰς σὲ μετὰ Θεὸν τὰς ἐλπίδας θεμένων, Θεοτόκε πανύμνητε καὶ ἀπειρόγαμε.

Ἀπολυτίκιον, ἦχος, πλ. δ΄.

Ταῖς τῶν δακρύων σου ῥοαῖς.

ΤΩ τῆς Θεόπαιδος χρισμῷ, τοῖς τοῦ βίου ἐμφρόνως ἀποταξάμενοι, καὶ ταῖς ἑκάστοτε αὐτῆς, φωτοφανίαις ξένως μυσταγωγούμενοι, ὡς Φοίνιξ ἐν αὐλαῖς ταῖς τοῦ Κυρίου ὄντως ἠνθήσατε, Βαρνάβα Σωφρόνιε καὶ Χριστοφόρε. πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, Πατέρες ἡμῶν τρισόλβιοι, σωθῆναι τὰς Ψυχὰς ἡμῶν.

Δόξα, Ἕτερον, ἦχος, α΄. Τοῦ λίθου σφραγισθ.

ΤΟὺς φαεινοὺς τρεῖς Φωστῆρας, τῆς τρισηλίου Θεότητος, τοὺς τῶν Μοναστῶν τὰς χορείας, ἀκτῖσι βίου πυρσεύσαντας, τῆς Θεοτόκου τοὺς καὶ μύστας καὶ λάτρας

λάτρας, τοὺς καὶ θυηφόρους τῷ τῆς Ἁγνῆς κελεύσματι χρηματίσαντας, Βαρνάβαν τὸν ὑψίνουν, καὶ τὸν θεοφόρον Σωφρόνιον, σὺν τῷ κλεινῷ Χριστοφόρῳ τῷ νοῦν σχόντι θεοδίδακτον, πάντες οἱ τοῦ βίου αὐτῶν Ὀπαδοί, συνελθόντες ὕμνοις τιμήσωμεν. αὐτοὶ γὰρ τῇ Τριάδι, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύουσι.

Καὶ νῦν, ἦχος, ὁ αὐτός.

Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας, ἐν τῇ Κοιμήσει τὸν κόσμον οὐ κατέλειπες Θεοτόκε· μετέστης πρὸς τὴν Ζωήν, Μήτηρ ὑπάρχουσα τῆς Ζωῆς. καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς Ψυχὰς ἡμῶν.

Ἀπόλυσις.

*

* Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολογία. *

μετὰ τὴν α΄. στιχολογίαν Κάθισμα, ἦχος, δ΄.

Κατεπλάγη Ἰωσήφ.

Ἡ Θεόπαις Μαριάμ, τοὺς θεοφόρους ἀσκητάς, ἐξ Ἑλλάδος συγκαλεῖ, πρὸς θεῖον ὕψος Οὐρανοῦ, δι' ὃ προθύμως σὺν Σωφρονίῳ Βαρνάβας, μεθέπονται αὐτῇ, συνυπουργῆσαι Θεῷ, Χριστῷ τῷ ἐξ αὐτῆς, δίχα τεχθέντι σπορᾶς· καὶ διὰ τοῦτο Ἄγγελοι, βοῶσιν ἐν παρρησίᾳ τῷ κτίστῃ Θεῷ. Θεὲ Πατέρων, ὁ μεταστήσας, τοὺς ἱκέτας σου, δόξα σοι.

Δόξα.

Χριστοφόρον τὸν κλεινόν, ἀνευφημήσωμεν πιστοί. ὃν κατέστησε Χριστός, ἐξ ἀροτῆρος ἱερόν, τοῦ ἱεροῦ ἀμπελῶνος αὐτοῦ ἐργάτην. τῆς γνώμης γὰρ αὐτοῦ εἰδὼς τὸ ἄπλαστον, ὡς ἄλλον Ἐλισσαῖον ἀνελάβετο, ἐκ τῶν βοῶν καὶ γνώσεως, ἐνθέου ὑπερφυῶς αὐτὸν ἔπλησε, τῶν μυστηρίων, τῶν ἀπορρήτων ἱερουργὸν προβαλλόμενος.

Καὶ νῦν.

Ἀναβόησον Δαβίδ, τίς ἡ παροῦσα Ἑορτή, ἣν ἀνύμνησας ποτέ, ἐν τῷ βιβλίῳ τῶν Ψαλμῶν; ὡς θυγατέρα Θεόπαιδα καὶ Παρθένον, μετέστησεν αὐτήν, πρὸς τὰς ἐκεῖθεν μονάς, Χριστὸς ὁ ἐξ αὐτῆς, ἄνευ σπορᾶς γεννηθείς· καὶ διὰ τοῦτο χαίρουσι, Μητέρες καὶ Θυγατέρες καὶ Νύμφαι Χριστοῦ. βοῶσαι χαῖρε, ἡ μεταστᾶσα, πρὸς τὰ ἄνω Βασίλεια.

Μετὰ



Μετὰ τὴν β΄. στιχολογίαν, Κάθισμα, ἦχος, α΄.

Τὸν τάφον σου Σωτήρ.

Βαρνάβαν τὸν σοφόν, καὶ Σωφρόνιον ἅμα, τὸ ζεῦγος τὸ κλεινόν, τῆς ἁγίας Τριάδος, τὰ σκεύη τοῦ Πνεύματος, τοῦ Χριστοῦ τοὺς θεράποντας, τοὺς τῆς πίστεως, ἀκριβεστάτους κανόνας, τοὺς ἰσάγγελον, ὁμοῦ βιώσαντας βίον, πιστῶς εὐφημήσωμεν.

Δόξα.

Ἡ Πάντιμος Δυάς, τῶν ὁσίων Πατέρων, τιμᾶται θαυμαστῶς, ἐν Μελέᾳ τῷ ὄρει, Βαρνάβας καὶ Σωφρόνιος, λάτραι τῆς Θεομήτορος. ὅθεν σήμερον συναθροισθέντες, ἐνθάδε ἑορτάζομεν, ἐν εὐφροσύνῃ καρδίας, Θεοῦ τοὺς θεράποντας.

Καὶ νῦν.

Ὁ Πάντιμος χορός, τῶν σοφῶν Ἀποστόλων, ἠθροίσθη θαυμαστῶς, τοῦ κηδεῦσαι ἐνδόξως, τὸ σῶμά σου τὸ ἄχραντον, Θεοτόκε πανύμνητε. οἷς συνύμνησαν, καὶ τῶν Ἀγγέλων τὰ πλήθη, τὴν μετάστασιν, τὴν σὴν σεπτῶς εὐφημοῦντα. ἣν πίστει ἑορτάζομεν.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα, ἦχος, γ΄.

Τὴν ὡραιότητα τῆς παρθεν.

Πόνοις ἀσκήσεως, σαρκὸς τὸ φρόνημα, καταμαράναντες, πάντα ἐσβέσατε, τὰ καθ' ὑμῶν τοῦ πονηροῦ, βέλη πεπυρωμένα, Πνεῦμα δὲ πλουτήσαντες, τοῦ Χριστοῦ ὑμῖν ἔνοικον, χάριν ἐκομίσασθε, τὰ ἀκάθαρτα πνεύματα, ἐλαύνειν καὶ ἰᾶσθαι παντοῖα, πάθη Ψυχῶν τε καὶ σωμάτων.

Δόξα.

Πῶς σὲ τιμήσωμεν, Πάτερ θεόσοφε; πῶς σοῦ τὸν ἄμεμπτον βίον θαυμάσωμεν; καὶ γὰρ πολλάκις ἐμφανῶς, ὦπταί σοι Χριστοφόρε, ὑπέρλαμπρος ἡ Πάναγνος, θείαν χάριν βραβεύουσα, εὑροῦσά σε ἄξιον, σκεῦος ὄντως Μακάριε, δι' ὃ μετὰ Ἀγγέλων ἐν ὕμνοις σοῦ τὴν θείαν μνήμην τιμῶμεν.

Καὶ νῦν.

Ἐν τῇ Γεννήσει σου, σύλληψις ἄσπορος, ἐν τῇ Κοιμήσει σου, νέκρωσις ἄφθορος, θαῦμα ἐν θαύματι διπλοῦν, συνέδραμε Θεοτόκε. πῶς γὰρ ἡ ἀπείρανδρος, βρεφοτρόφος ἁγνεύουσα; πῶς δὲ ἡ Μητρόθεος, νεκροφόρος μυρίζουσα; διὸ σὺν τῷ Ἀγγέλῳ βοῶμέν σοι, Χαῖρε ἡ κεχαριτωμένη.



Ἀνάγνω-

Ἀνάγνωσις Εἰς τὸν κατὰ πλάτος βίον τῶν Ὁσίων Πατέρων. οὗ ἡ ἀρχὴ, Τὴν τῶν σεπτῶν Εἰκόνων σχετικὴν προσκύνησιν.

Οἱ Ἀναβαθμοὶ, τὸ α΄. Ἀντίφωνον, τοῦ δ΄, ἤχου.

Προκείμενον, ἦχος, πλ. δ΄.

Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τῶν Ὁσίων αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων. ὧν.

Πᾶσα πνοή. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου.

Ζήτει, Δεκεμβρίου, ε΄.

ὁ Ν΄. Ψαλμός. Δόξα, ἦχος, β΄.

Ταῖς τῶν σῶν Ὁσίων, πρεσβείαις ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν, Θεοτοκίον.

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Εἶτα, στίχ. Ἐλέησόν με, ὁ Θεὸς κατά.

Καὶ τὸ Ἰδιόμελον, ἦχος, πλ. β΄.

Σήμερον Ἀσκητῶν τάγματα, δόξαν προσφέρουσι Θεῷ, τῷ δοξάσαντι τὴν μνήμην τῶν Ὁσίων. καὶ γὰρ αὐτοῖς συνδοξάζονται, ὁ Βαρνάβας καὶ Σωφρόνιος, μετὰ τοῦ Χριστοφόρου· πρεσβείαις Κύριε, τῶν σῶν Ὁσίων, τὴν εἰρήνην παράσχου ταῖς ψυχαῖς ἡμῶν.

Σῶσον ὁ Θεὸς τὸν Λαόν σου. τὸ, Κύριε ἐλέησον, ιβ΄.

Ἐλέει καὶ οἰκτιρμοῖς.

Εἶτα ὁ α΄. Κανὼν τῆς Ἑορτῆς, μετὰ τῶν Εἱρμῶν εἰς ς΄. καὶ τῶν Ὁσίων εἰς η΄. ὁ Κανὼν τῆς Ἑορτῆς, Ποίημα Κυρίου Κοσμᾶ, οὗ ἡ Ἀκροστιχίς,

Πανηγυριζέτωσαν οἱ Θεόφρονες.

Ὠδὴ, α΄. ἦχος, α΄. ὁ Εἱρμός.

Πεποικιλμένη τῇ θείᾳ δόξῃ, ἡ ἱερὰ καὶ εὐκλεὴς, Παρθένε, μνήμη σου, πάντας συνηγάγετο, πρὸς εὐφροσύνην τοὺς πιστοὺς, ἐξαρχούσης Μαριὰμ, μετὰ



μετὰ χορῶν καὶ τυμπάνων, τῷ σῷ, ᾄδοντας Μονογενεῖ. ἐνδόξως ὅτι δεδόξασαι. Δίς.

Ἀμφεπονεῖτο ἀΰλων τάξις, οὐρανοβάμων ἐν Σιὼν τὸ θεῖον σῶμά σου. ἄφνω δὲ συῤῥεύσασα, τῶν Ἀποστόλων, ἡ πληθὺς, ἐκ περάτων, Θεοτόκε, σοὶ παρέστησαν ἀθρόον. μεθ' ὧν Ἄχραντε, σοῦ τὴν σεπτὴν, Παρθένε, μνήμην δοξάζομεν. Δίς.

Νικητικὰ μὲν βραβεῖα ἤρω, κατὰ τῆς Φύσεως, Ἁγνὴ, Θεὸν κυήσασα. ὅμως μιμουμένη δὲ, τὸν Ποιητήν σου καὶ Υἱὸν, ὑπὲρ Φύσιν ὑποκύπτεις, τοῖς τῆς Φύσεως νόμοις. δι' ὃ θνήσκουσα, σὺν τῷ Υἱῷ ἐγείρῃ διαιωνίζουσα. Δίς.

Ὁ Κανὼν τῶν Ὁσίων, Ποίημα Κυρίου Νεοφύτου Πελοποννησίου. οὗ ἡ Ἀκροστιχίς.

Αἰνῶ Δυάδα τῶν Ὁσίων Πατέρων Νεόφυτος.

ἦχος, β΄. Ἐν βυθῷ κατέστρωσε ποτὲ τήν.

Ἀνυμνῆσαι μνήμην τὴν φαιδρὰν, τῶν Πατέρων ᾄσμασιν, ὁ τῶν Πατέρων Θεὸς, σύ μοι δώρησαι, ἐν ἀνοίξει στόματος, λόγου δύναμιν, τὴν τῶν σῶν θρόνων πάρεδρον. δώρημα γὰρ ἅπαν, τέλειον ἐκ σοῦ ἡμῖν κατέρχεται.

Ἱερῶς τὸν βίον ἐπὶ γῆς, Ὅσιοι ἀνύοντες, χρηματισμῶν ἱερῶν ἠξιώθητε, τῶν τῆς Θεομήτορος, ἀποτάξασθαι τῇ τοῦ βίου τερπνότητι· ὅθεν τὸν Σταυρὸν ἀράμενοι, Χριστῷ ἠκολουθήσατε.

Νυσταγμὸν βλεφάροις ψαλμικῶς, ὕπνον τε τοῖς ὄμμασι, γενναιοφρόνως, Σοφοὶ, οὐκ ἐδώκατε, ἕως οὗ τὸ σκήνωμα, ἐκτυπώματος τῆς Πανάγνου Θεόπαιδος, ἴχνεσιν αὐτοῦ ἑπόμενοι, εὑρόντες συνῳκίσθητε. Θεοτοκίον.

Ὡς ὡραίαν ὡς περικαλλῆ, ὅλην ὡς ἀμώμητον, τὴν Ἰακὼβ καλλονὴν, σὲ Θεόνυμφε, εὑρηκὼς ἐσκήνωσεν, ἐν τῇ μήτρᾳ σου, ὑπὲρ λόγον καὶ ἔννοιαν, ὁ δεδοξασμένος Κύριος. ἐνδόξως γὰρ δεδόξασαι.

Ἕτερος Κανὼν, τοῦ αὐτοῦ, εἰς τὸν Ὅσιον Χριστοφόρον. οὗ ἡ Ἀκροστιχίς.

Χριστοφόρον τε Χριστοῦ μου τὸ φορεῖον.

ἦχος, δ΄. Ἀνοίξω τὸ στόμα μου.

Χριστοῦ τὸν θεράποντα, τὸν Χριστοφόρον ὑμνήσωμεν, ὃν ἔχρισεν ἔλαιον ἀγαλλιάσεως, ὁ τῷ Πνεύματι χρισθεὶς τὸ κατὰ σάρκα, Χριστὸς ὁ Θεὸς ἡμῶν· ὅτι δεδόξασαι.

 Ῥημά-

Ῥ Ημάτων αὐτήκοος, καὶ ὑπερφώτου λαμπρότητος, αὐτόπτης σὺ γέγονας χειρὸς τῆς Θεόπαιδος, τῆς Θεομήτορος. καὶ καταπεσὼν, ὡς Δανιὴλ ἀνέστης, ἐπειλημμένης σου.

Ἰ Δὼν τὸ ἀκέραιον, τῆς σῆς καρδίας καὶ ἄπλαστον, ὁ γνοὺς πρὸ γενέσεως αὐτῶν τὰ σύμπαντα, Ἱερέα σε, σοφὸν ἐξ ἀροτῆρος, ὡς τὸν Ἐλισσαῖον πρὶν προεχειρίσατο.

Θεοτοκίον.

Σ Ε` τεῖχος ἀπόρθητον, καὶ στρατηγὸν ἀπροσμάχητον, κατὰ ὁρωμένων τε καὶ ἀοράτων ἐχθρῶν, προβαλλόμεθα, καὶ ἄγκυραν ἐλπίδος, πλουτοῦμεν, Θεόνυμφε, τῆς σωτηρίας ἡμῶν.

Καταβασία.

Π Εποικιλμένη τῇ θείᾳ δόξῃ, ἡ ἱερὰ καὶ εὐκλεὴς Παρθένε μνήμη σου, πάν-
„ τας συνηγάγετο, πρὸς εὐφροσύνην τοὺς πιστοὺς, ἐξαρχούσης Μαριὰμ, μετὰ
„ χορῶν καὶ τυμπάνων, τῷ σῷ, ᾄδοντας Μονογενεῖ· ἐνδόξως ὅτι δεδό-
„ ξασται.

Ἀ Νοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι
„ τῇ βασιλίδι Μητρί· καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γη-
„ θόμενος ταύτης τὴν Κοίμησιν.

Ὠιδὴ, γ΄. ὁ Εἱρμός.

Ἡ Δημιουργικὴ, καὶ συνεκτικὴ τῶν ἁπάντων, Θεοῦ σοφία καὶ δύναμις, ἀκλινῆ ἀκράδαντον, τὴν Ἐκκλησίαν στήριξον, Χριστέ· μόνος γὰρ εἶ Ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος. Δίς.

Γ Υναῖκά σε θνητὴν, ἀλλ᾽ ὑπερφυῶς καὶ Μητέρα, Θεοῦ εἰδότες, Πανάμωμε, οἱ κλεινοὶ Ἀπόστολοι, πεφρικυίαις ἥπτοντο χερσὶ, δόξῃ ἀπαστράπτουσαν, ὡς θεοδόχον σκῆνος θεώμενοι. Δίς.

Ὑ Πέφθασε χερσὶ, ταῖς ὑβριστικαῖς τοῦ αὐθάδους, τομὴν ἡ δίκη ἐπάξασα· τοῦ Θεοῦ φυλάξαντος. τὸ σέβας τῇ ἐμψύχῳ Κιβωτῷ, δόξῃ τῆς θεότητος. ἐν ᾗ ὁ Λόγος σὰρξ ἐχρημάτισεν. Δίς.

Ἄλλος. Ἐξήνθησεν ἡ Ἔρημος.

Δ Υάδα ὑπερέβητε, τὴν τῆς ὕλης Ὅσιοι, τῆς τριλαμποῦς Θεότητος, τῇ ἀΰλῳ στοργῇ ἑνούμενοι, καὶ πίστει τὴν καρδίαν στερεούμενοι.

Υ Ἱὸς σὺ παρακλήσεως, ὦ Βαρνάβα γέγονας, σὺν Σωφρονίῳ πνεύματος, παρακλήσει καθιλαρύνοντες, τοὺς πόθῳ τὴν ὑμῶν μνήμην γεραίροντας.

Ἀῤῥή-



Ἀ Ρ̓ῥήτοις ταῖς ἐλλάμψεσι, τῆς Ἁγνῆς Θεόπαιδος, ἀπαύστως πυρσευόμενοι, τὴν τοῦ βίου νύκτα διήλθετε, καὶ πρὸς Φῶς ἐσκηνώσατε τὸ ἄδυτον.

Θεοτοκίον.

Δ Αβὶδ τοῦ θεοπάτορος, ἐκ τῆς ῥίζης Πάναγνε, προφητικῶς ἐβλάστησας. ἀλλὰ σὺ καὶ Δαβὶδ ἐδόξασας, ὡς τῆς δόξης τὸν Κύριον γεννήσασα.

Ἕτερος. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Τ Η͂ς σῆς θυηφόρου, Χριστοφόρε, χειρὸς τὸ παράσημον, Χριστὸς, ἐπίσημον ἀνέδειξε, τῷ σὲ χειροτεθήσαντι. ἐκ μήτρας γὰρ μητρὸς τῆς σῆς, σὲ Ναζιραῖον ἀφώρισεν.

Ὁ Πάλαι λαβὼν ἐκ τῶν προβάτων, Μωσῆν, τὸν Ἀμὼς, καὶ τὸν Δαβὶδ, οὗτος ἐκ τῶν βοῶν καὶ σὲ, ἀνέλαβε Χριστοφόρε, τῶν μυστηρίων ἔμφρονα, ἱερουργὸν προβαλλόμενος.

Φ Ορεῖον ἐγένου Χριστοφόρε, τοῦ ξύμπαντα φέροντος δρακί. ἐλθὼν γὰρ παρὰ σοὶ Χριστὸς, μετὰ Πατρὸς καὶ Πνεύματος, μονὴν ἐν σοὶ ἐποίησεν, ἠγαπηκὼς ὡς ἠγάπηται.

Θεοτοκίον.

Ὁ Ὢν ἐν μορφῇ Θεοῦ Παρθένε, μορφὴν δούλου ἔλαβεν ἐκ σοῦ, σωματωθεὶς ἐν μήτρᾳ σου, ἀσπόρως ὁ ἀσώματος. καὶ σὲ φυλάξας ἄφθορον, ἐν τόκῳ καὶ μετὰ γέννησιν.

Καταβασία

Ἡ Δημιουργικὴ, καὶ συνεκτικὴ τῶν ἁπάντων, Θεοῦ σοφία καὶ δύναμις, ἀκλι-
„ νῆ ἀκράδαντον, τὴν Ἐκκλησίαν στήριξον Χριστέ. μόνος γὰρ εἶ Ἅγιος, ὁ ἐν
„ ἁγίοις ἀναπαυόμενος.

Τ Οὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγὴ, θίασον συγ-
„ κροτήσαντας, πνευματικὸν στερέωσον, καὶ ἐν τῇ θείᾳ Μνήμῃ σου, στεφά-
„ νων δόξης ἀξίωσον.

Ἀπὸ γ΄, ᾠδῆς, Κοντάκιον τῆς Ἑορτῆς. ἦχος, β΄.

Τ Ὴν ἐν πρεσβείαις ἀκοίμητον Θεοτόκον, καὶ προστασίαις ἀμετάθετον ἐλπίδα, τάφος καὶ νέκρωσις οὐκ ἐκράτησεν. ὡς γὰρ Ζωῆς μητέρα πρὸς τὴν Ζωὴν μετέστησεν. ὁ μήτραν οἰκήσας ἀειπάρθενον.

ὁ Οἶκος.

Τ Είχισόν μου τὰς φρένας Σωτήρ μου. τὸ γὰρ τεῖχος τοῦ κόσμου ἀνυμνῆσαι τολμῶ, τὴν Ἄχραντον Μητέρα σου· ἐν πύργῳ ῥημάτων ἐνίσχυσόν με, καὶ ἐν βάρεσιν ἐννοιῶν ὀχύρωσόν με· σὺ γὰρ βοᾷς, τῶν αἰτούντων πιστῶς, τὰς αἰτήσεις πληροῦν. σὺ οὖν μοι δώρησαι γλώττης προφορὰν, καὶ λογισμὸν ἀκαταίσχυν-

ταίσχυντον· πᾶσα γὰρ δόσις ἐλλάμψεως, παρὰ σοῦ καταπέμπεται, Φωταγωγέ, ὁ μήτραν οἰκήσας ἀειπάρθενον.

Εἶτα τὸ Κάθισμα, ἦχος, πλ. δ΄. Τὴν σοφίαν καὶ λόγον.

Τὴν ψυχὴν δεσμευθέντες πόθῳ Χριστοῦ, τὰ τερπνὰ παριδόντες πάντα τῆς γῆς, ηὐλίσθητε Ὅσιοι, ἐν σπηλαίοις καὶ ὄρεσι. τοῦ τῆς Ζωῆς γὰρ ξύλου, γευσάμενοι ἔνδοξοι, ὡς ἐξ ἀδύτων μύσαι, ἐνθέως ἐλλάμψατε. ὅθεν καὶ τὸν γνόφον, τῆς σαρκὸς διασχόντες, Σιὼν πρὸς Οὐράνιον, καὶ πρὸς πόλιν Μακάριοι, Θεοῦ ζῶντος προσήλθετε, πρεσβεύοντες Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν Μνήμην ὑμῶν.

Ἕτερον, ἦχος, πλ. α΄. Τὸν συνάναρχον λόγον.

Τοῖς τοῦ βίου θορύβοις ἀποταξάμενοι, καὶ τῷ Κυρίῳ προθύμως ἀκολουθήσαντες, τῆς Θεοτόκου τὸν ναὸν κατηξιώθητε, κατοικεῖν διὰ παντός, καὶ ἐπισκέπτεσθαι αὐτόν, ὑμνοῦντες καὶ εὐλογοῦντες, τὸν ἐξ αὐτῆς γεννηθέντα, καὶ τὴν αὐτὸν ἀφθόρως γεννήσαντα. Δόξα.

Ἕτερον, ἦχος, δ΄. Ταχὺ προκατάλαβε.

Πατέρες τρισόλβιοι τῶν μοναστῶν ἡ κρηπίς, τὸν βίον τελέσαντες, ἐπὶ τῆς γῆς εὐσεβῶς, τοῦ Πνεύματος ὤφθητε, ἔσοπτρα τὴν ἐξ ὕψους, εἰσδεχόμενα αἴγλην, πάντας φωταγωγοῦντες, τῷ λαμπρῷ ὑμῶν λόγῳ, καὶ βίῳ τῷ λαμπροτέρῳ Θεομακάριστοι. Καὶ νῦν.

Θεοτοκίον. ἦχος, ὁ αὐτός. Κατεπλάγη Ἰωσήφ.

Κατεπλάγησαν Ἁγνή, πάντα, τὰ γένη τῶν βροτῶν, Ἐκτυπώματος τοῦ σοῦ, τοὺς τῶν θαυμάτων ποταμούς. πῶς ἀενάως τὴν Χάριν πᾶσι πηγάζει. πνευμάτων πονηρῶν σβεῖ τὰς μάστιγας. σωμάτων καὶ ψυχῶν λύει παθήματα, τῶν ἀναγκῶν καὶ θλίψεων, καὶ πάσης ἀπολυτροῦται κακώσεως, πάντας τοὺς τούτῳ, προσερχομένους, καὶ πιστῶς σε δοξάζοντας.

Ὠδὴ. δ΄. ὁ Εἱρμός.

Ῥήσεις Προφητῶν καὶ αἰνίγματα, τὴν σάρκωσιν ὑπέφηναν, τὴν ἐκ Παρθένου σου Χριστέ. φέγγος ἀστραπῆς σου, εἰς φῶς ἐθνῶν ἐξελεύσεται, καὶ φωνήσει ἄβυσσος ἐν ἀγαλλιάσει· τῇ δυνάμει σου δόξα Φιλάνθρωπε. Δίς.

Ἴδετε Λαοὶ καὶ θαυμάσατε. τὸ Ὄρος γὰρ τὸ ἅγιον, καὶ ἐμφανέστατον Θεοῦ τῶν ἐπουρανίων μονῶν, ἐφύπερθεν αἴρεται. Οὐρανὸς ἐπίγειος ἐν ἐπουρανίῳ, καὶ ἀφθάρτῳ χθονὶ οἰκιζόμενος. Δίς.

Ζωῆς



Ζωῆς τῆς ἀϊδίου καὶ κρείττονος, ὁ θάνατός σου γέγονε, διαβατήριον, Ἁγνή, ἐκ τῆς ἐπικήρου, πρὸς θείαν ὄντως καὶ ἄῤῥευστον, μεθιστῶν σε Ἄχραντε, ἐν ἀγαλλιάσει, τὸν Υἱὸν καθορᾶν σου καὶ Κύριον.

Πήρθησαν πύλαι Οὐράνιαι, καὶ Ἄγγελοι ἀνύμνησαν, καὶ ὑπεδέξατο Χριστός, τὸ τῆς παρθενίας αὐτοῦ μητρῷον, Κειμήλιον Χερουβὶμ ὑπεῖξέ σοι, ἐν ἀγαλλιάσει, Σεραφὶμ δὲ δοξάζει σε χαίροντα.

Ἄλλος, Ἐλήλυθας ἐκ παρθένου.

Ἀνάστατοι τῆς οἰκείας πατρίδος γενόμενοι, Ποταμοῦ ἐστήσατε, ῥεῖθρα ἀέναα Ὅσιοι, καὶ τοῖς ποσὶ διέβητε, τῷ Ἡλιοῦ θείῳ πνεύματι κοσμούμενοι.

Τῆς πίστεως ἐν καρδίᾳ τὸν σπόρον νεώσαντες, νέφος διελύσατε, τὸ τῆς Ἀκρίδος Μακάριοι, τὸ ἐπινεμόμενον, τῶν γεωργῶν τὰς ἀρούρας καὶ τὸν ἄσταχυν.

Ὡς τήξαντες ἐγκρατείᾳ τὴν σάρκα Θεσπέσιοι, καὶ πάθη νεκρώσαντες, ἐν τῇ μαχαίρᾳ τοῦ Πνεύματος, κλινοπετῆ Παράλυτον, τῶν εὐχῶν ἐπαφῇ ἀνωρθώσατε. Θεοτοκίον.

Νυμφῶνός με τοῦ Υἱοῦ σου υἱὸν Θεονύμφευτε, πταισμάτων τὸ δύσμορφον, ἀπαμφιάσασα, δέομαι, κάλλει δ' ὡραιότητος, τῷ τοῦ Νυμφίου, νυμφοστολοῦσα, ποίησον.

Ἕτερος, Ὁ καθήμενος ἐν δόξῃ.

Ῥωμαλαίᾳ διανοίᾳ, μετανάστης γεγένησαι, τῆς ἐνεγκαμένης, ὡς ὁ Ἀβραὰμ καὶ ἄνω κτίσας, ὡς τὸν ναὸν Ζοροβάβελ τὸ ἀνάκτορον, τῆς Θεόπαιδος, διὰ παντὸς ἀνυμνῶν αὐτήν.

Ὁ σοφίσας τοὺς ἀγροίκους, Ἁλιεῖς ὑπὲρ ῥήτορας, καὶ σὲ μὴ εἰδότα, γράμματα σοφίσας ἀνέδειξε, μυσταγωγὸν ἐξ ἀγροίκου τῶν τῆς χάριτος, μυστικῶν, Χριστοφόρε διὰ τῆς Θεόπαιδος.

Νύμφης ὤφθης τῆς Παναγνοῦ, λειτουργὸς ἱερώτατος, τῆς δικαιοσύνης τὴν καταστολὴν ἐνδυσάμενος, καὶ Ἀαρὼν ὥσπερ νέος εἰσερχόμενος, εἰς τὰ ἅγια τῶν ἁγίων ἁγίως ἑκάστοτε. Θεοτοκίον.

Τὴν ἐκ σοῦ Μωσῆς σημαίνων, τοῦ Θεοῦ Λόγου σάρκωσιν προδιέγραψέ σε, Στάμνον καὶ Λυχνίαν ἑπτάφωτον, καὶ Κιβωτόν, Θεοτόκε, ἁγιάσματος, θείαν τράπεζαν, ἐξ Οὐρανοῦ Ἄρτον φέρουσαν.



Κατε-

Καταβασία.

Ῥήσεις Προφητῶν καὶ αἰνίγματα, τὴν σάρκωσιν ὑπέφηναν, τὴν ἐκ Παρ-
„ θένȣ σȣ Χριςέ, Φέγγος ἀςραπῆς σȣ, εἰς Φῶς ἐθνῶν ἐξελεύσεται, καὶ Φω-
„ νεῖ σοι, ἄβυσσος ἐν ἀγαλλιάσει. τῇ δυνάμει σȣ δόξα Φιλάνθρωπε.

Τὴν ἀνεξιχνίαςον θείαν βȣλὴν, τὴν ἐκ τῆς Παρθένου σαρκώσεως, σȣ̃ τȣ̃
„ Ὑψίςου, ὁ Προφήτης Ἀββακοὺμ, κατανοῶν ἐκραύγαζε. δόξα τῇ δυνά-
„ μει σȣ Κύριε.

Ὠδὴ, έ. ὁ Εἱρμός.

Τὸ θεῖον καὶ ἄῤῥητον κάλλος, τῶν ἀρετῶν σου Χριςὲ διηγήσομαι. ἐξ ἀϊ-
δίου γὰρ δόξης συναΐδιον, ἐνυπόςατον λάμψας ἀπαύγασμα. παρθενικῆς
ἀπὸ γαςρὸς, τοῖς ἐν σκότει καὶ σκιᾷ, σωματωθεὶς ἀνέτειλας Ἥλιος.
Δίς.

Ὡς ἐπὶ νεφέλης Παρθένε, τῶν Ἀποςόλων ὁ δῆμος ὀχȣ́μενος, πρὸς τὴν
Σιὼν ἐκ περάτων λειτȣργῆσαί σοι, τῇ νεφέλῃ τῇ κούφῃ ἠθροίζετο.
ἀφ᾿ ἧς ὁ Ὕψιςος Θεὸς, τοῖς ἐν σκότει καὶ σκιᾷ, σωματωθεὶς ἀνέτειλας
Ἥλιος. Δίς.

Σαλπίγγων θεόληπτοι γλῶσσαι, τῶν θεολόγων Ἀνδρῶν εὐηχέςερον, τῇ
Θεοτόκῳ ἐβόων τὸν ἐξόδιον ὕμνον τῷ Πνεύματι. Χαίροις, ἀκήρατε, Πη-
γὴ, τῆς τȣ̃ Θεȣ̃ ζωαρχικῆς, καὶ σωτηρίȣ πάντων σαρκώσεως. Δίς.

Ἄλλος. Μεσίτης Θεȣ̃, καὶ ἀνθρώπων.

Οὐδὲν τῶν φθαρτῶν, τῆς ἀγάπης εἵλκυσεν ὑμᾶς τοῦ Χριςοῦ. δι᾿ αὐτὸν
γὰρ Ὅσιοι, βίου τοῖς τερπνοῖς ἀποταξάμενοι, ὁλοψύχῳ προθέσει, αὐτῷ ἠ-
κολȣθήσατε.

Συντόνοις εὐχαῖς, καὶ παννύχοις ςάσεσι τȣ̃ θείȣ Ναȣ̃, πύλας διηνοίξατε.
οἶδε γὰρ Θεὸς ποιεῖν τὸ θέλημα, τῶν αὐτὸν φοβȣμένων, καὶ τὴν εὐχὴν αὐ-
τῶν πληρȣ̃ν.

Ἱςτίῳ Σταυρȣ̃, βίȣ διαπλεύσαντες τὸν πλȣ̃ν γαληνῶς, ὅρμον πρὸς Οὐρά-
νιον, πηδαλιȣχȣ́μενοι τῷ Πνεύματι, τῆς ψυχῆς τὴν ὁλκάδα, ἀκλύςως διε-
σώσατε.
Θεοτοκίον.

Ὡς νάμα τὸ ζῶν, καὶ ζωήῤῥυτον πηγάσασά με δρόσισον, φλογμῷ περι-
ςάσεων, καὶ παραπτωμάτων συγκαιόμενον, ταῖς τῶν σῶν Θεραπόντων πρε-
σβείαις, Θεονύμφευτε.

Ἕτερος.



Ἕτερος. Ἐξέςη τὰ σύμπαντα.

Εὐθύς τε καὶ ἄπλαςος, τὸν τρόπον καὶ ἀκέραιος, πρᾶος ἱλαρὸς πλήρης ἀ-
γάπης, τῆς πρὸς Θεόν τε καὶ τὸν Πλησίον σȣ, ἀρετῆς καὶ πίςεως κανὼν,
ἀκριβὴς γεγένησαι, Χριςοφόρε τρισόλβιε.

Χαρᾶς ἡμῖν πρόξενος, ἡ Μνήμη σȣ ἀνέτειλε. βίȣ γὰρ τȣ̃ σȣ̃ τὸ Φῶς τρισ-
μάκαρ ἔμπροσθεν πάντων λάμπον θεώμενοι, δόξαν ἀναπέμπομεν Θεῷ, τῷ
σὲ ἐν τοῖς θαύμασι, μετὰ πότμον δοξάσαντι.

Ῥητῶν ἀποῤῥήτων τε, τὴν Πάναγνον πεπλȣ́τηκας, καὶ μυςαγωγὸν καὶ
χρησμολόγον, σοφίζȣσάν σε καὶ συνετίζȣσαν, διὰ τȣ̃ ὠτίȣ ἀκοῆς, διδόντος
ὡς γέγραπται, καὶ τὸν νȣ̃ν διανοίγοντος. Θεοτοκίον.

Ἰάσεων ἄφθονα, πηγάζει τὰ ἰάματα, τὸ σὸν Ἀπεικόνισμα Παρθένε. τȣ̃
γὰρ τεχθέντος ἐκ σȣ̃ τῆς χάριτος, μετέδως προσβλέψασα αὐτῷ, Λουκᾶ
ὑποδείξαντος, τȣ̃ σοφȣ̃ θεοκήρυκος.

Καταβασία.

Τὸ θεῖον καὶ ἄῤῥητον κάλλος, τῶν ἀρετῶν σȣ Χριςὲ διηγήσομαι. ἐξ ἀϊδίȣ
„ γὰρ δόξης συναΐδιον, ἐνυπόςατον λάμψας ἀπαύγασμα. παρθενικῆς ἀπ-
„ γαςρὸς, τοῖς ἐν σκότει καὶ σκιᾷ, σωματωθεὶς ἀνέτειλας Ἥλιος.

Ἐξέςη τὰ σύμπαντα, ἐν τῇ σεπτῇ Κοιμήσει σȣ. σὺ γὰρ ἀπειρόγαμε
„ Παρθένε, γῆθεν μετέςης πρὸς αἰωνίȣς μονὰς, καὶ πρὸς ἀτελεύτητον Ζωὴν,
„ πᾶσι τοῖς ὑμνȣ̃σί σε, σωτηρίαν βραβεύȣσα.

Ὠδὴ, ς΄. ὁ Εἱρμός.

Ἅλιον ποντογενὲς, κητῶον ἐντόσθιον πῦρ, τῆς τριημέρȣ ταφῆς σȣ τί
προεικόνισμα. ȣ̃ Ἰωνᾶς ὑποφήτης ἀναδέδεικται. σεσωσμένος γὰρ ὡς καὶ
προπέποτο, ἀσινὴς ἐβόα. θύσω σοι μετὰ φωνῆς αἰνέσεως Κύριε. Δίς.

Νέμει σοι τὰ ὑπὲρ φύσιν, Ἄναξ ὁ πάντων Θεός. ἐν γὰρ τῷ τίκτειν παρ-
θένον ὥσπερ ἐφύλαξεν, ȣ̔́τως ἐν τάφῳ τὸ σῶμα διετήρησεν ἀδιάφθορον καὶ
συνεδόξασε, θείᾳ μεταςάσει, γέρα σοι ὥσπερ Υἱὸς, Μητρὶ χαριζόμενος.
Δίς.

Ὄντως σε ὡς φαεινὴν Λυχνίαν, ἀΰλου πυρὸς θυμιατήριον, θείου χρύ-
σεον ἄνθρακος, ἐν τοῖς Ἁγίων Ἁγίοις κατεσκήνωσε, Στάμνον Ῥάβδον τε
Πλάκα θεόγραφον, Κιβωτὸν ἁγίαν, Τράπεζαν λόγȣ ζωῆς, Παρθένε ὁ τό-
κος σȣ. Δίς.

Ἄλλον,

Ἄλλον, Ἐν ἀβύσσῳ πταισμάτων.

Νοῦν παθῶν ἡγεμόνα στησάμενοι, Θεσπεσίοις Ὅσιοι ἄρτοις ἐτράφητε, τροφὴν ὑμῖν αὐτόματον τοῦ τὰ σύμπαντα τρέφοντος στήσαντες.

Παροδεύοντες γῆς τὸ οἰκούμενον, τῶν ὁδοστατῶν τοὺς ὑμᾶς ἐκπειράσαντας, λόγοις αἰχμαλωτίσαντες, μετανοίας, Χριστῷ ὑπηγάγετε.

Ἀκεσώδυνα σχὼν τὰ σὰ δάκρυα, τούτων καταπλάσματι τὸ ἄλγος ἔπαυσας, τὸ τοῦ ποδὸς προσκόψαντος, Σωφρονίου Βαρνάβα μακάριε.

Θεοτοκίον.

Τῆς ζωῆς τὴν πηγὴν τὴν ἀέναον, Ἄχραντε γεννήσασα, πύλας μοι ἄνοιξον, τὰς τῆς Ζωῆς καὶ σῶσόν με, εἰς ζωὴν ἐκ θανάτου μετάγουσα.

Ἕτερος, Τὴν θείαν ταύτην καὶ πάντιμον.

Στύλος φωτὸς καὶ σκιάζουσα νεφέλη ἐν Ἐρήμῳ σὺ γέγονας, πρὸς τὰ Οὐράνια, ἀπὸ τῆς γῆς προηγούμενος, τῶν τὸν Θεὸν ὁρώντων, θεῖε Χριστοφόρε.

Τὴν τῶν παθῶν ῥήξας, Θάλασσαν, τῇ Ῥάβδῳ τοῦ Σταυροῦ διεπέρασας, τὸν ταύτης κλύδωνα· καὶ εἰς Σιὼν τὴν Οὐράνιον, εἰσῆλθες τροπαιοῦχος Θεομακάριστε.

Ὅλος Θεῷ ἀνακείμενος, τῆς γῆς δι' ἀρετῆς ἀπανίστασο, τὸν νοῦν λαμπόμενος, ὡς ἀκηλίδωτον ἔσοπτρον, ταῖς νοηταῖς ἀκτῖσι τοῦ θείου Πνεύματος.

Θεοτοκίον.

Ὑμνοῦμεν Κόρη τὸν τόκον σου, καὶ σὲ ἀσματικῶς μακαρίζομεν. Χαῖρέ σοι κράζοντες, δι' ἧς Χαρὰ ἡμῖν ἔλαμψεν, ἡ τῆς ἀρᾶς τὸ γένος τῶν βροτῶν λύσασα.

Καταβασία.

Ἀλλ' ὢν ποντογενές, κητῷον ἐντόσθιον πῦρ, τῆς τριημέρου ταφῆς σου τὸ
„ προεικόνισμα. οὗ Ἰωνᾶς ὑποφήτης ἀναδέδεικται. σεσωσμένος γὰρ ὡς καὶ
„ προπέποτο, ἀσινὴς ἐβόα. θύσω σοι μετὰ φωνῆς αἰνέσεως Κύριε.

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες Ἑορτὴν οἱ θεόφρονες, τῆς Θεο-
„ μήτορος. δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δο-
„ ξάζοντες.

Κοντάκιον, ἦχος, γ'. Ἡ παρθένος σήμερον.

Ὁ Βαρνάβας σήμερον, καὶ ὁ Σωφρόνιος ἅμα, οἱ Χριστοῦ θεράποντες, σὺν τῷ κλεινῷ Χριστοφόρῳ, ἅπαντας συγκαλοῦσιν εὐσεβοφρόνως, αἴνεσιν ἀναπέμ-



ψαι, Θεῷ τῷ ζῶντι, τῷ ἐν θαύμασι τοὺς τοῦτον, ἐν Γῇ δοξάσαντας μεγαλύναντι.

Ὁ οἶκος.

Τοὺς τῆς Τριάδος τῆς σεπτῆς, τρεῖς θεοφόρους Μύστας, τὸν ὅσιον Βαρνάβαν, Σωφρόνιον τὸν πάνυ, καὶ Χριστοφόρον τὸν κλεινόν, συνελθόντες οἱ πιστοί, ἐν ὕμνοις εὐφημήσωμεν, τοὺς μονοτρόπως ὁμοῦ διαπρέψαντας, καὶ ἐν ἀσκήσει ὡς φοίνιξ ἀνθήσαντας, τοὺς χρησμοδόχους τῆς Θεοτόκου, καὶ θείους ἱερουργοὺς τοῦ Χριστοῦ, τοὺς ἐν ᾗ ἐπόλισαν ἐρήμῳ, ὡσεὶ κέδρος ἐν τῷ Λιβάνῳ πληθυνθέντας, καὶ τὴν οὐ τίκτουσαν στεῖραν, ἐπὶ πολυτεκνίᾳ εὐφραινομένην ἀναδείξαντας, κἀντεῦθεν εἰς Χριστὸν ἀναλύσαντας, ἔνθα πάντων εὐφραινομένων ἐστὶν ἡ κατοικία. ἐφ' οἷς καὶ εὐχαρίστως αἶνον βοῶμεν τῷ Θεῷ, τῷ ἐν θαύμασι τοὺς τοῦτον, ἐν Γῇ δοξάσαντας μεγαλύναντι.

Τῷ αὐτῷ μηνὶ Δεκάτῃ Ὀγδόῃ, μνήμη τῶν ἐξ Ἀθηνῶν Ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν, Βαρνάβα καὶ Σωφρονίου, τῶν ἐν τῷ Ὄρει τοῦ Μελᾶ ἐν ἀσκήσει καὶ θαύμασι διαλαμψάντων.

Στίχοι.

Τὴν γῆν λιπόντες, ἐν τάχει πρὸς τὸν Πόλον
Ἔβητε, Σωφρόνιε, σύ τε Βαρνάβα.
Βαρνάβας Δεκάτῃ Ὀγδόῃ θάνε Σωφρόνιός τε.

Οὗτοι οἱ Τρισόλβιοι, Βαρνάβας φημὶ καὶ Σωφρόνιος, τὸ μὲν γένος εἷλκον ἐξ Ἀθηνῶν, ἀποταξάμενοι δὲ ἐν αὐταῖς, ἐπὶ Θεοδοσίου τοῦ Μεγάλου κόσμῳ καὶ τοῖς ἐν κόσμῳ, ταῖς κατ' ὄναρ ὑποθήκαις, ἧς τὴν παρὰ τοῦ ἱεροῦ, ὡς ὁ λόγος, Λουκᾶ ἱστορηθεῖσαν Εἰκόνα ἔχοντες ἐσέβοντο Θεοτόκου, τὸ ἀγγελικὸν Σχῆμα μετημφιάσαντο. καὶ δῆτα παρὰ τῆς Θεομήτορος κατ' ἴχνος τῆς σεβασμίας αὐτῆς Εἰκόνος παροπηδεῖν εὐθὺ Τραπεζοῦντος κελευσθέντες, τὸ Ὄρος, ᾧ τοὐπίκλην Μελᾶ, κατέλαβον, οὐκ ὀλίγα καθ' ὁδὸν κατεργασάμενοι θαύματα. Ποταμόν τε γάρ τινα καθ' ὅλην αὐτοῦ τὴν κρηπῖδα πεπληρωμένον ἀβρόχοις ποσὶ διεπέρασαν, τὸ ῥεῖθρον οὐχὶ μηλωτῇ, εὐχῇ δὲ μᾶλλον ἐξαισίως διαρρήξαντες εἶτ' οὖν στήσαντες. Καὶ νέφος Ἀκρίδων ὡσαύτως ἀπήλασαν. καί τινα ἐν Κυμψάλλῳ κλινοπετῆ ἀνέστησαν. οὐ μὴν ἀλλὰ καὶ τρεῖς τινας τῶν Λῃστῶν, τὴν τοῦ Χριστῷ συσταυρωθέντος ἐκείνου Λῃστοῦ μετάνοιαν μεταμαθεῖν ἔπεισαν, καλῶς τοὺς κακῶς λῃστεύοντας λῃστευσάμενοι. Ἔν τινι δὲ Σπηλαίῳ τοῦ εἰρημένου Ὄρους πρὸς ἀνίσχοντα βλέποντι ἥλιον, προπορευομένην τὴν τῆς Θεομήτορος Εἰκόνα, μεθ' ὅτι πλείστων, ἧς ἐκ τῶν κατὰ πᾶσαν μικροῦ δεῖν τὴν Εὐρώπην ἱερῶν Μοναστηρίων συνεπορίσαντο, ἀρετῆς ἀγωγίμων καταλαβόντες, Ναόν τε αὐτῇ περικαλλῆ ἐν ἱερῷ, ὧν ἱερῶς προΐσταντο μοναζόντων συστήματι ἀνήγειραν, καὶ Ὕδωρ πότιμόν τε ἅμα καὶ ἀκεσώδυνον ἐξ ἀνίκμου πέτρας δι' εὐχῆς ἀναβλύσαι ἐποίησαν. προϊόντος δὲ τοῦ χρόνου, καὶ ἱκανοὺς ἄλλους εὐκτηρίους Οἴκους ἀνοικοδομήσαντες, καὶ τὴν περὶ αὐτοὺς Ἀδελφότητα ἔργοις οὐχ ἧττον ἢ λόγοις, εἰς τὸν κατ' εὐσέβειαν δρόμον καταρτίσαντες,

σαντες, ἐν εἰρήνῃ πρὸς Κύριον ἐξεδήμησαν. Τοῦ Ὁσίου Βαρνάβα μικρὸν πρὸ τῆς ἐκδημίας ὑπὸ τῆς Θεομήτορος, δι' ὧν ἐδεδώκει οἱ, Σταυροῦ καὶ κλάδου Ἐλαίας, τὴν εἰς τὰς ἄνω Μονὰς εὐαγγελισθέντος μετοίκησιν.

Τῇ αὐτῇ ἡμέρᾳ ἀνάμνησις τοῦ γενομένου Θαύματος ὑπὸ τῆς Ὑπεραγίας Θεοτόκου, διὰ τῆς Ἁγίας αὐτῆς Εἰκόνος περὶ τῆς ἐν τῇ Μονῇ τοῦ Σουμελᾶ Ζωοδόχου Πηγῆς.

Στ. Μάννα Σιλωὰμ καὶ στοὰν Σολωμῶντος

Πηγὴν Κόρη σὴν ἐμφανῶς Πᾶς τις βλέπει.

Διηποροῦντο οἱ Ὅσιοι Πατέρες Βαρνάβας καὶ Σωφρόνιος, ὅπως ποτὲ τὸν τῆς Θεομήτορος Ναὸν ἀνεγείρωσι, τὸ τοῦ τόπου ἄνυδρον λογιζόμενοι· οὐ μὴν ἀλλ' εἰς ἀνάμνησιν ἐλθόντες, ὧν ἐξ ἀνίκμου πέτρας ἐπήγασεν ὑδάτων τῷ ἀγνώμονι τῶν Ἑβραίων λαῷ ὁ Κύριος, ἔχοντες δὲ καὶ αὐτοὶ τὸ αὐτὸ Πνεῦμα τῆς Πίστεως, καθὼς γέγραπται, Ἐπίστευσα δι' ὃ ἐλάλησα, πρὸς τὸν εὔπορον ἐν ἀπόροις, καὶ ἐν ἀμηχάνοις εὐμήχανον Θεὸν διὰ τῆς Ὑπεράγνου Θεοτόκου ἐν Νηστείᾳ καὶ Προσευχῇ καταφεύγουσι. καὶ μετὰ τὴν πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ τὴν Πανάχραντον αὐτοῦ Μητέρα Εὐχήν· ὦ τῶν ταχίστων σου Δωρεῶν Δέσποινα, Φωνὴ γίνεται ἐκ τῆς Σεβασμίας Εἰκόνος, Ἰδοὺ, λέγουσα, Ἀγαπητοὶ, δίδοται ὑμῖν ὕδωρ ἐξ ἀνίκμου πέτρας ἀέναον, οὐ μόνον σωματικῆς δίψης, ἀλλὰ καὶ πάθους παντὸς ἀκεσώδυνον τοῖς ἐν Πίστει μεταλαμβάνουσι. Καὶ ἅμα τῇ Φωνῇ ῥαγεῖσα ἡ ἐπὶ τοῦ Σπηλαίου ὑπὸ τὴν Ἁγίαν Εἰκόνα πέτρα, σταγόνας ψεκάδων ἐστάλαζεν, ὡς καὶ μέχρι τῆς σήμερον φαίνεται, μὴ παυόμενος ὁ θεόμβροτος οὗτος Σταλαγμός· ὡς μηδὲν ἀποδεῖν τὸ Ὕδωρ τοῦτο τῆς Ζωοδόχου ἐκείνης Πηγῆς εἰς λόγον χάριτος. ῥᾶον γὰρ ἄν τις τὴν ψάμμον τῆς θαλάσσης, καὶ τὰ ἄστρα τοῦ οὐρανοῦ ἐξαριθμήσοι, ἢ ὅσους ἡ Θεοτόκος Πιστοὺς καὶ Ἀπίστους ἐν τῇ τοῦ Ὕδατος τούτου πόσει, τῶν συνεχόντων αὐτοὺς παθῶν, ὁποῖά τε καὶ ὁποῖοί ποτ' ἂν ὦσι, θεραπεύουσα ἀπαλλάττει.

Τῇ αὐτῇ ἡμέρᾳ ἔτι ἀνάμνησις καὶ τοῦ γενομένου Θαύματος, ὑπὸ τῆς Ὑπεραγίας Θεοτόκου, διὰ τῆς Ἁγίας αὐτῆς Εἰκόνος ἐν τῷ Ὄρει καλουμένῳ Καμμένα. Καὶ τῆς εὑρέσεως τῆς τιμίας Κάρας, τοῦ Ὁσίου Βαρνάβα.

στίχοι, Εἰς τὴν Ὑπεραγίαν Θεοτόκον.

Λῃστὰς θέλοντας συντρίψαι σὴν Εἰκόνα,  
Ἁγνὴ ἔκαυσας σὺν Ὄρει τῷ Καμμένα.  
Εἷς τῶν Τριῶν δὲ μὴ καεὶς ξενοτρόπως,  
Χαίρων μονάζει, δοξάσων σε, Παρθένε.

Εἰς



Εἰς τὸν Ὅσιον Βαρνάβαν.

Ὡς παρακλήσεως σὺ υἱὸς, Βαρνάβα,  
Ἡμῖν δέδωκας παράκλησιν σὴν Κάραν.

Τῶν τῆς Μονῆς Πατέρων τῇ τῶν Βαρβάρων ἐπιδρομῇ ποτε φυγαδευθέντων τρεῖς τινες τῶν Λῃστῶν τῇ τοῦ κωλύσοντος ἐρημίᾳ τὴν ἱερὰν Εἰκόνα τῆς Θεομήτορος κεκοσμημένην οὖσαν ἀφελόμενοι, τὸ Ὄρος κατέλαβον, τοῦ περὶ αὐτὴν χρυσοῦ ἕνεκα συντρίψαι ταύτην βουλόμενοι. τοῦτο δὲ αὐτῶν καὶ διανοουμένων καὶ ὠδινόντων, Φλὸξ αἴφνης ἐκ τῆς ἱερᾶς Εἰκόνος ἐξελθοῦσα, δύω μὲν τούτων κατέφλεξε, τὸ δὲ ὄρος ἀνθωρὸν ἐπινεμησαμένη, καὶ τὸν χοῦν αὐτοῦ ἐξέλειξε· καὶ ἔκτοτε τὴν τοῦ Καμμένα ἐπωνυμίαν τὸ Ὄρος μετέλαβεν. εἷς δὲ τοῦ πυρὸς ἐκ πίστεως διασωθεὶς, ἐν τῇ Μονῇ θεαρέστως ζῶν διετέλεσεν. Οἱ δὲ λοιποὶ τὴν ἱερὰν Κάραν τοῦ Ὁσίου Βαρνάβα προαρπάσαντες, καὶ τὸν περὶ αὐτὴν χρυσοῦν κόσμον ἀφελόμενοι, τῷ παραῤῥέοντι Πυξίτῃ ποταμῷ ἐναπέρριψαν. Μετὰ δὲ χρόνον ὡς Στύλη Φωτεινὴ φανεῖσα, διά τινος βουκόλου εὑρέθη, τῇ τοῦ Θεοῦ χάριτι.

Τῇ αὐτῇ ἡμέρᾳ Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Χριστοφόρου τοῦ Ἱεροῦ, καὶ ἀνοικιστοῦ τῆς αὐτῆς τοῦ Μελᾶ Ὄρους Μονῆς, τοῦ ἐκ χώρας Τραπεζοῦντος Γαζαρῆ.

στίχοι.

Χριστοῦ ὁ Μύστης, ἐν μοναῖς ἀκηράτοις  
Χαίρων ἀνῆλθε, τῶν πόνων λαβεῖν γέρα.

Χρόνοις δ' ὕστερον τῆς Μονῆς ταῖς τῶν περιοικούντων Βαρβάρων ἀλλεπαλλήλοις ἐπιδρομαῖς κατὰ τὴν τῶν ἄνωθεν Ὁσίων ἐρημώσεως προαγόρευσιν, ἐπὶ Κώνστα Βασιλέως ἐγγόνου Ἡρακλείου, Γεωργός τις ἔκ τινος χώρας Τραπεζοῦντος Γαζαρῆ καλουμένης, ᾧ τοὔνομα Χριστοφόρος, ἀνὴρ τὸν ἰδιώτην καὶ ἀναλφάβητον καὶ ὅλως ἀγροῖκον βίον βιῶν, νεύσει τῆς κατ' ἐπιφάνειαν σοφιστάσης αὐτὸν ἀροτριῶντα Θεομήτορος, εἰς τὸν τῆς Ἱερωσύνης κλῆρον ἐπὶ τῇ τῆς Μονῆς καὶ ἀνακαινίσει καὶ προστασίᾳ προχειρισθῆναι κελευσθεὶς, τότε ἐπιταχθέντα οἱ προθύμως ἐποίησε, καὶ καλῶς καὶ θεαρέστως ἐπιβιώσας, ἐν εἰρήνῃ καὶ οὗτος ἀνεπαύσατο.

Τῇ αὐτῇ ἡμέρᾳ καὶ τῶν Ἁγίων Μαρτύρων, Φλώρου καὶ Λαύρου.

στίχοι. Δίψει τελευτῆς τῆς ὑπερθέου Λόγου,  
Χωροῦσι Φλῶρος, καὶ Λαῦρος πρὸς τὸ Φρέαρ.

Ταῖς αὐτῶν πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς. ἀμήν.

Ὠδὴ

## Ὠδὴ, ζ. ὁ Εἱρμός.

Ἰταμῷ θυμῷ τε καὶ πυρὶ, θεῖος Ἔρως ἀντιταττόμενος. τὸ μὲν πῦρ ἐδρόσιζε, τῷ θυμῷ δὲ ἐγέλα. θεοπνεύςῳ λογικῇ, τῇ τῶν Ὁσίων τριφθόγγῳ λύρᾳ ἀντιφθεγγόμενος, μουσικοῖς ὀργάνοις ἐν μέσῳ φλογός. ὁ δεδοξασμένος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ. Δίς.

Θεοτεύκτȣς πλάκας Μωϋσῆς, γεγραμμένας τῷ θείῳ Πνεύματι, ἐν θυμῷ συνέτριψεν· ἀλλ' ὁ τȣ́τȣ Δεσπότης, τὴν τεκȣ̃σαν ἀσινῆ, τοῖς οὐρανίοις νῦν εἰσῳκίσατο· σὺν αὐτῇ σκιρτῶντες βοῶμεν Χριςῷ. ὁ δεφυλάξας δόμοις, ... δοξασμένος τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλόγητος εἶ. Δίς.

Ἐν κυμβάλοις χείλεσιν ἁγνοῖς, μουσικῇ τε καρδίας φόρμιγγι, ἐν εὐήχῳ σάλπιγγι, ὑψηλῆς διανοίας, τῆς Παρθένȣ καὶ Ἁγνῆς, ἐν τῇ εὐσήμῳ κλητῇ ἡμέρᾳ τῆς μεταςάσεως, πρακτικαῖς κροτȣ̃ντες βοῶμεν χερσίν. ὁ δεδοξασμένος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλόγητος εἶ.

Ὁ Θεόφρων ἤθροιςαι Λαὸς, τῆς γὰρ δόξης Θεȣ̃ τὸ σκήνωμα, ἐκ Σιὼν μεθίςαται πρὸς ȣ̓ράνιον δόμον. ἔνθα ἦχος καθαρὸς ἑορταζόντων, φωνὴ ἀφράςȣ ἀγαλλιάσεως, καὶ ἐν εὐφροσύνῃ βοᾷ τῷ Χριςῷ, ὁ δεδοξασμένος τῶν Πατέρων, καὶ ἡμῶν Θεὸς εὐλόγητος εἶ. Δίς.

### Ἄλλος. Ἀντίθεον πρόσταγμα.

Εἰκόνι ἑπόμενοι τῆς Θεοτόκȣ, ἣν χεῖρες ἱςόρησαν, Λȣκᾶ τȣ̃ θεοκήρυκος, εἰς Ὄρος ἀνήχθητε, ὃ τεκμηρίοις πολλοῖς, ἔδειξεν ἡ Πάναγνος, ἡμῖν χρησμοδοτȣ̃σα καὶ συνοδεύȣσα.

Ῥωννύμενοι χάριτι τῆς Παναχράντȣ, τὴν πέτραν ἐῤῥήξατε, εὐχῆς ῥάβδῳ ὡς πρὶν Μωσῆς, ςαγόνας ψεκάζȣσαν ποτίμȣ ὕδατος, νόσων καὶ δεινῶν παθῶν, παντὶ ἀκεσωδίνȣς Θεομακάριςοι.

Ὡς πάντα ἰσχύοντες ἐν τῷ Κυρίῳ, ἡμέραις ἐν πλείοσιν ἀπόσιτοι διήγετε· ὁ θεῖος δὲ Πρόδρομος ὡς ὁμοτρόποις αὐτῷ, ἅπασαν αὐτάρκειαν ὑμῖν, χρησμοδοτήσας ἐπανεκτήσατο. Θεοτοκίον.

Νοός μȣ τὸ ἄςατον ςῆσον Παρθένε, τὸν ὄρη καὶ νάπας τε ςαθμῷ ζυγοςατήσαντα, καὶ πνεῦμα τὸν κτίζοντα καὶ ςεραιȣ̃ντα βροντὴν, Οὐρανόν τε ςήσαντα καὶ Γῆν, θεμελιώσαντα ἡ γεννήσασα.

### Ἕτερος, Οὐκ ἐλάτρευσαν τῇ κτείσει.

Μνήμην ἄγει σοι, ἑόρτιον ἡ ποίμνη σȣ πανηγυρίζȣσα, ἐπὶ τῇ σῇ πρὸς Χριςὸν, ἀναλύσει Ὅσιε, καὶ ἀναμέλπȣσα, ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὁ σὸς



Ὁ Σὸς θάνατος, Κυρίȣ κατενώπιον, τίμιος Ὅσιε· τιμᾷν γὰρ οἶδε Θεὸς, τȣ̀ς ἔργων λαμπρότητι τȣ̃τον τιμήσαντας. ᾧ καὶ ψάλλομεν, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὑπὲρ Ἥλιον, ἀνέτειλε τȣ̃ βίȣ σȣ τὰ κατορθώματα, τοῖς ἐν νυκτὶ τῶν παθῶν, καθεύδȣσιν Ὅσιε, καὶ διανέςησε, πρὸς τὴν μίμησιν, τὴν σὴν συμφώνως ψάλλοντας, ὁ Θεὸς εὐλογητὸς εἶ. Θεοτοκίον.

Τὸν τὰ σύμπαντα, ποιήσαντα συνέλαβες, ἀσπόρως Πάναγνε, λόγον Θεȣ̃ καὶ Θεὸν, ἀφθόρως τε τέτοκας καὶ ἀνωδίνως σεμνή. ᾧ λατρεύοντες, κυρίως Θεοτόκον σε, εὐσεβῶς ὁμολογȣ̃μεν.

### Καταβασία.

Ἰταμῷ θυμῷ τε καὶ πυρὶ, θεῖος Ἔρως ἀντιταττόμενος· τὸ μὲν πῦρ ἐδρόσιζε, τῷ θυμῷ δὲ ἐγέλα. θεοπνεύςῳ λογικῇ, τῇ τῶν Ὁσίων τριφθόγγῳ λύρᾳ ἀντιφθεγγόμενος, μȣσικοῖς ὀργάνοις ἐν μέσῳ φλογὸς, ὁ δεδοξασμένος, τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλόγητος εἶ.

Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ Θεόφρονες, παρὰ τὸν κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλὴν, ἀνδρείως πατήσαντες, ἔχαιρον ψάλλοντες, ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλόγητος εἶ.

## Ὠδὴ, η'. ὁ Εἱρμός.

Φλόγα δροσίζȣσαν Ὁσίȣς, δυσσεβεῖς δὲ καταφλέγουσαν, Ἄγγελος Θεȣ̃ ὁ πανσθενὴς, ἔδειξε παισί. ζωαρχικὴν δὲ Πηγὴν εἰργάσατο τὴν Θεοτόκον, φθορὰν θανάτȣ καὶ ζωὴν, βλυςάνȣσαν τοῖς μέλπȣσι, τὸν Δημιȣργὸν μόνον ὑμνȣ̃μεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψȣ̃μεν εἰς πάντας τοὺς αἰῶνας. Δίς.

Ῥήμασιν εἴχοντο τῆς θείας, Κιβωτοῦ τοῦ ἁγιάσματος, πᾶσα ἡ πληθὺς τῶν θεολόγων ἐν τῇ Σιών· πȣ̃ νῦν ἀπαίρεις Σκηνὴ κραυγάζοντες, Θεȣ̃ τȣ̃ ζῶντος· μὴ διαλίποις ἐποπτεύουσα, τοὺς πίςει μέλποντας. τὸν Δημιȣργὸν μόνον ὑμνοῦμεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν εἰς πάντας τȣ̀ς αἰῶνας. Δίς.

Ὢ Πῶς ὑψώσασα τὰς χεῖρας, ἐκδημȣ̃σα ἡ Πανάμωμος, χεῖρας τας Θεὸν ἠγκαλισμένας σωματικῶς, ἐν παῤῥησίᾳ ὡς Μήτηρ ἔφησε, πρὸς τὸν τεχθέντα. ȣ̃ς μοι ἐκτήσω, εἰς αἰῶνας φύλαττε βοῶντάς σοι. Τὸν Δημιȣργὸν μόνον ὑμνοῦμεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας. Δίς.

Ἄλλος,

Ἄλλος, Καμινὸς ποτε.

Νεύσει τῆς Ναοῦ τοῦ πάντα δειμαμένου, γεγενημένης ἐδομήσατε, ἱερὸν αὐτῇ Ἀνάκτορον, ἐν αὐτῷ προσαναφέροντες, τὴν λογικὴν Λατρείαν ἑκάστοτε, καὶ χρισμοῖς τοῖς τῆς Θεοτόκου, τὰ ὑπὲρ λόγον μυούμενοι.

Ἔρημον ὡς πρὶν ὁ Ἐρημοπολίτης, περιπολοῦντες ἀπανίσασθε, τῆς γῆς καὶ τοῦ σώματος, κατοπτεύοντες ἐν Πνεύματι, ἃ ὀφθαλμὸς κατεῖδεν οὐδέποτε, οὐδ' ἀνέβη εἰς νοῦν Ἀνθρώπου, οὐδὲ ὠτίον ἀκήκοεν.

Ὄλβιον ὁμοῦ βεβιωκότες βίον, ὕπνον Τρισόλβιοι ὑπνώσατε, τὸν Μακαρίοις ἐμπρέποντα, ἡμερῶν πλήρεις γενόμενοι, καὶ τοῖς ὑμῶν Πατράσι προστεθέμενοι· ὅθεν ὕμνοις ὑμῶν τὴν Μνήμην, συμφώνως γεραίρομεν.

Θεοτοκίον.

Φῶς τὸ ἐκ Φωτὸς Φωτόνυμε τεκοῦσα, ἀμαυρωθέντα παραπτώμασι, Φωτί με λαμπρύνασα, τῷ Φωτίζοντι τὰ σύμπαντα, Φωτὸς υἱόν, ἀνάδειξον δέομαι, Θεομῆτορ τοῦ ἀνεσπέρου, εἰς Φῶς ἐκ σκότους μετάγουσα.

Ἕτερος. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ὄλβιον ἐν γῇ βιώσας βίον, τὸν ὄλβον τὸν ἐπουράνιον ἀπείληφας, Αἴγλης ἐμφορούμενος, τριλαμποῦς Τρισόλβιε, μετὰ τῶν ἄνω ταγμάτων· μεθ' ὧν καὶ ψάλλεις ἀεὶ τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Φρόνησιν ἀνδρείαν σωφροσύνην, καὶ πᾶσαν δικαιοσύνην ἀμπεχόμενος, Ἄγγελος ἐπίγειος, Ἄνθρωπος οὐράνιος, Φωστὴρ ἐν κόσμῳ γέγονας, λόγον ἐπέχων ζωῆς, τὸν Κύριον τοῖς πίστει ὑμνοῦσι, καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Ὄργανον τοῦ Πνεύματος ἐγένου, καὶ λύρα ἀναφωνοῦσα μέλος ἔνθεον, Δόγματα σωτήρια, ἀρετῆς ἀκρίβειαν, πανσόφως διαθέμενος τοῖς μελῳδοῦσι πιστῶς, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ῥεῖθρα ἰαμάτων ἀναβλύζει, τὸ σὸν Ἀπεικόνισμα Θεόνυμφε, Ἰδιώταις Ἄρχουσιν, ἐθνικοῖς τε Ἄναξι, Πλουσίοις τε καὶ Πένησι, Πιστοῖς, Ἀπίστοις ἁπλῶς· τοῦ βρέχοντος καὶ γὰρ ἦσθα Μήτηρ, καὶ Φωτοδοτοῦντος Δικαίοις καὶ Ἀδίκοις.

Καταβασία.

Φλόγα δροσίζουσαν Ὁσίους, δυσσεβεῖς δὲ καταφλέγουσαν, Ἄγγελος Θεοῦ ὁ πανσθενής, ἔδειξε παισί. ζωαρχικὴν δὲ Πηγὴν εἰργάσατο τὴν Θεο-
„ τόκον,



„ τόκον, Φθορὰν θανάτου καὶ ζωὴν βλυστάνουσαν τοῖς μέλπουσι, τὸν Δημιουργὸν
„ μόνον ὑμνοῦμεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διέσωζετο· τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν Οἰκουμένην ἅπασαν ἐγείρει ψάλλουσαν, τὸν
„ Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἡ τιμιωτέρα, στιχολογεῖται.

Ὠδὴ θ'. ὁ Εἱρμός.

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε τὴν μόνην Θεοτόκον.

Νενίκηνται τῆς Φύσεως οἱ Ὅροι, ἐν σοὶ Παρθένε Ἄχραντε. παρθενεύει γὰρ τόκος, καὶ ζωὴν προμνηστεύεται θάνατος· ἡ μετὰ τόκον Παρθένος καὶ μετὰ θάνατον ζῶσα, σώζεις ἀεί, Θεοτόκε τὴν κληρονομίαν σου. Δίς.

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε, τὴν μόνην Θεοτόκον.

Ἐξίσταντο Ἀγγέλων αἱ δυνάμεις, ἐν τῇ Σιὼν σκοπούμεναι, τὸν οἰκεῖον Δεσπότην, γυναικείαν Ψυχὴν χειριζόμενον, τῇ γὰρ ἀχράντως τεκούσῃ, υἱοπρεπῶς προσεφώνει· δεῦρο σεμνή, τῷ Υἱῷ καὶ Θεῷ συνδοξάσθητι. Δίς.

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε τὴν μόνην Θεοτόκον.

Συνέστειλε χορὸς τῶν Ἀποστόλων, τὸ θεοδόχον σῶμά σου, μετὰ δέους ὁρῶντες, καὶ φωνῇ λιγυρᾷ προσφθεγγόμενοι· εἰς οὐρανίους θαλάμους, πρὸς τὸν Υἱὸν ἐκφοιτῶσα, σώζεις ἀεί, Θεοτόκε, τὴν κληρονομίαν σου. Δίς.

Ἄλλος. Ἀνάρχου γεννήτορος.

Μεγάλυνον Ψυχή μου, τοὺς παρεστηκότας τῷ τοῦ Δεσπότου θρόνῳ, καὶ ἡμῖν αἰτοῦντας τὴν τῶν πταισμάτων λύσιν.

Ὑμῶν τὸ πολίτευμα, ἐν Οὐρανοῖς ὑπάρχει νῦν, ὅπου ἦχος ἀφράστου ἀγαλλιάσεως, ὅπου μυριάδες Ἀγγέλων, ὅπου χοροὶ τετελειωμένων, Δικαίων τὰ πνεύματα, πρωτοτόκων ἡ πανήγυρις.

Μεγάλυνον Ψυχή μου, τοὺς δύο Φωστῆρας, Βαρνάβαν τὸν ὑψίνουν, σὺν τῷ Σωφρονίῳ ἐκλάμποντας τῷ Κόσμῳ.

Τῷ θρόνῳ τῆς χάριτος, παρεστηκότες Ὅσιοι, καὶ Φωτὶ τρισηλίῳ καταλαμπόμενοι, τοὺς τὴν Φωτοφόρον τελοῦντας Μνήμην ὑμῶν, τυχεῖν δυσωπεῖτε, τῆς ἄνω λαμπρότητος, τὸν Φιλάνθρωπον Θεὸν ἡμῶν.

Μεγάλυνον Ψυχή μου, τὸν θεῖον Βαρνάβαν, σὺν τῷ Σωφρονίῳ, τοὺς ὑπὲρ τοῦ Κόσμου πρεσβεύοντας Κυρίῳ.

Ὁ Φύσει Φιλάνθρωπος, ἡ τοῦ ἐλέους Ἄβυσσος, ὁ Θεὸς τῶν Πατέρων
ἡμῶν

ἡμῶν ἐλέησον, τῶν σῶν Θεραπόντων πρεσβείαις τοὺς Εὐσεβεῖ πίςει προσκυνοῦντας, μίαν Κυριότητα, ἐν Πατρὶ Υἱῷ καὶ Πνεύματι. Θεοτοκίον.

Μεγάλυνον Ψυχή μου, τὴν Ἁγνὴν Παρθένον, καὶ μόνην Θεοτόκον,
τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας.

ΣΩτήριον οἶδά σε λιμένα καὶ γαλήνιον, τῶν παθῶν τρικυμίας νεύματι λύσαν, τοῦ ὑπερφυῶς γεννηθέντος ἐκ σοῦ Ἁγνὴ, θεανθρώπου Λόγου, καὶ ἐπιτιμήσαντος τῇ Θαλάσσῃ καὶ τῇ Λαίλαπι.

Ἕτερος. Ἅπας γηγενής.

Ἄγγελοι τὴν Κοίμησιν τοῦ Ὁσίου, ὁρῶντες ἐξεπλήττοντο,
πῶς ἐναντίον Κυρίου, τιμία γέγονεν ὄντως.

ἜΣτης μεταςὰς, Ζωὴν πρὸς τὴν ἄληκτον, τῆς σῆς ἐφέσεως. ὃν γὰρ ἐν αἰνίγματι, καὶ ἐν ἐσόπτρῳ ἦσθα θεώμενος, ἐν εἴδει νῦν καὶ πρόσωπον ὁρᾷς πρὸς πρόσωπον, λελυμένων τῶν ἐσόπτρων Ὅσιε. ὅθεν ὕμνοις πιςῶς εὐφημοῦμέν σε.

Ἅπαντες Φιλέορτοι τοῦ Ὁσίου, τὴν Μνήμην ἑορτάσωμεν. ὑπὲρ
ἡμῶν γὰρ Κυρίῳ, αὐτὸς πρεσβεύει ἀπαύςως.

ἼΛεων ἡμῖν, γενέσθαι δυσώπησον τὸν Ἐλεήμονα, ἐποπτεύων ἄνωθεν, ἣν συνεςήσω ποίμνην Μακάριε. συνηγοροῦντας ἔχουσαν τοὺς ὁμοτρόπους σοι, τὸν Βαρνάβαν, ὁμοῦ καὶ Σωφρόνιον, τῶν Πατέρων τοὺς θείους ἀκρέμονας. Δόξα.

Ἄγγελοι καὶ Ἄνθρωποι τὴν Ἁγίαν Τριάδα προσκυνήσωμεν,
σὺν τῷ Πατρὶ τὸν Υἱόν τε, καὶ τὸ πανάγιον Πνεῦμα.

Ὁ Τῶν οἰκτιρμῶν, καὶ τῆς παρακλήσεως Θεὸς οἰκτήρησον, τοὺς σὲ καταγγέλλοντας, μίαν Οὐσίαν τρία δὲ Πρόσωπα, θεαρχικὰ καὶ σύμμορφα σῆς Κυριότητος, καὶ τῆς θείας Δόξης σοῦ ἀξίωσον, ταῖς λιταῖς τῶν τριῶν Θεραπόντων σου Καὶ νῦν. Θεοτοκίον.

Ἄγγελοι καὶ Ἄνθρωποι τὴν Παρθένον, ἐνδόξως μεγαλύνομεν.
τὸν γὰρ Σωτῆρα τοῦ Κόσμου, αὐτὴ ἐγέννησε μόνη.

ΝΕῦσον ταῖς ἡμῶν, δεήσεσι Πάναγνε, ἡ τοῦ τὰ σύμπαντα, νεύματι ποιήσαντος, ἄφθορος Μήτηρ οὖσα καὶ αἴτησαι, τὴν τῶν πταισμάτων ἄφεσιν τοῖς προσκυνοῦσί σου, τὴν Εἰκόνα, ἣν ὁ ἱερὸς Λουκᾶς, εὐδοκίᾳ τῇ σῇ ἀνιςόρησε.

Κατα-



Καταβασία.

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε τὴν μόνην Θεοτόκον.

ΝΕνίκηνται τῆς Φύσεως οἱ Ὅροι, ἐν σοὶ Παρθένε Ἄχραντε. Παρθενεύει
„ γὰρ τόκος, καὶ ζωὴν προμνηςεύεται θάνατος. ἡ μετὰ τόκον Παρθένος, καὶ
„ μετὰ θάνατον ζῶσα, σώζεις ἀεὶ, Θεοτόκε τὴν κληρονομίαν σου.

Ἄγγελοι τὴν Κοίμησιν τῆς Πανάγνου, ὁρῶντες ἐξεπλήττοντο,
πῶς ἡ Παρθένος ἀπαίρει, ἀπὸ τῆς Γῆς εἰς τὰ Ἄνω.

ἍΠας γηγενὴς, σκιρτάτω τῷ Πνεύματι λαμπαδουχούμενος. πανηγυριζέ-
„ τω δὲ, ἀΰλων Νόων Φύσις γεραίρουσα, τὴν ἱερὰν Μετάςασιν τῆς Θεομή-
„ τορος, καὶ βοάτω. χαίροις Παμμακάριςε, Θεοτόκε Ἁγνὴ Ἀειπάρθενε.

Ἐξαποςειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

ΒΑρνάβαν τὸν θεόφρονα, καὶ Σωφρόνιον ἅμα, τοὺς τοῦ Χριςοῦ θεράποντας, σέψωμεν ἐγκωμίοις, τὸν νοῦν γὰρ παθῶν ἀχλύος, καθάραντες τῇ ἀσκήσει, τῆς τριλαμποῦς Θεότητος, τὴν ὑπέρφωτον αἴγλην, ἐν τῇ Ψυχῇ, ἄμφω εἰσεδέξαντο, νῦν δὲ ταύτης, ἀμέσως ἐμφορούμενοι, ὑπερεύχονται πάντων.

ὩΣ Ἐλισσαῖον ἄλλον σε βουσὶν ἀροτριῶντα, λαβοῦσα ἡ Θεόνυμφος Μαρίαμ Χριςοφόρε, τῶν ἱερῶν Μυςηρίων κατέςησεν ὑπηρέτην, ἐξ ἀροτῆρος ἔμφρονα, γεωργὸν τῆς Ἀμπέλου τῆς ἀληθοῦς, δείξασα καὶ γνώσεως θεοσδότου, ἐμπλήσασα δι' ὧν ἐν σοὶ, τρανῶς ἐχρησμολόγει. Θεοτοκίον.

ΤΗ'ν πάνσεπτόν σου Κοίμησιν, Θεοτόκε Παρθένε, τὰ τῶν Ἀγγέλων τάγματα, καὶ Ἀνθρώπων τὸ γένος, δοξάζουσι θεοφρόνως. τοῦ Ὑψίςου γὰρ θρόνος, χερουβικὸς γεγένησαι, τοῦ ἐκ σοῦ σαρκωθέντος. οὗ ταῖς χερσὶ, σοῦ τὴν παναγίαν Ψυχὴν παρέθου, καὶ μεταςᾶσα σήμερον, σὺν αὐτῷ βασιλεύεις.

Εἰς τοὺς Αἴνους. Πᾶσα πνοὴ, ἱςῶμεν ςίχους, ς'. καὶ Ψάλλομεν τῆς
Ἑορτῆς, γ'. καὶ τῶν Ὁσίων, γ'. Τῆς Ἑορτῆς Προσόμοια, ἦχος, δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

ΤΗ̃ ἐνδόξῳ Κοιμήσει σου, Οὐρανοὶ ἐπαγάλλονται, καὶ Ἀγγέλων γέγηθε τὸ ςράτευμα. πᾶσα ἡ Γῆ δὲ εὐφραίνεται, ᾠδήν σοι ἐξόδιον, προσφωνοῦσα τῇ Μητρὶ, τοῦ τῶν ὅλων δεσπόζοντος, Ἀπειρόγαμε, Παναγία Παρθένε, ἡ τὸ γένος, τῶν Ἀνθρώπων ῥυσαμένη, προγονικῆς ἀποφάσεως.

ἘΚ περάτων συνέδραμον, Ἀποςόλων οἱ πρόκριτοι, θεαρχίῳ νεύματι τοῦ κηδεῦσαί σε, καὶ ἀπὸ Γῆς αἰρομένην σε, πρὸς Ὕψος θεώμενοι, τὴν φωνὴν τοῦ Γα-

τοῦ Γαβριὴλ, ἐν χαρᾷ ἀνεβόων σοι. Χαῖρε ὄχημα, τῆς Θεότητος ὅλης. Χαῖ-
ρε μόνη, τὰ ἐπίγεια τοῖς ἄνω, τῷ τοκετῷ σου συνάψασα.

ΤΗ'ν Ζωὴν ἡ κυήσασα, πρὸς Ζωὴν μεταβέβηκας, τῇ σεπτῇ Κοιμήσει σου
τὴν ἀθάνατον. δορυφορούντων Ἀγγέλων σοι, Ἀρχῶν καὶ Δυνάμεων, Ἀπο-
στόλων καὶ Προφητῶν, καὶ ἁπάσης τῆς κτίσεως, δεχομένου τε, ἀκηράτοις
παλάμαις τοῦ Υἱοῦ σου, τὴν ἀμώμητον Ψυχήν σου, παρθενομῆτορ Θεό-
νυμφε.

Καὶ τῶν Ὁσίων, Προσόμοια, ἦχος, α'.

Τῶν οὐρανίων ταγμάτων.

ΤΟὺς θεοφόρους Πατέρας ἀνευφημήσωμεν, τὸν ἱερὸν Βαρνάβαν, καὶ Σω-
φρόνιον ἅμα. ἀσκήσεως γὰρ πόνοις τῶν ἀρετῶν, ἑαυτοὺς ἐνδιαίτημα, προκα-
ταστήσαντες ἄνω ἐν ταῖς σκηναῖς τῆς λαμπρότητος ἐσκήνωσαι.

ΤΗ͂ς πρὸς Θεὸν διαπύρου ἀγάπης Ὅσιοι, ἐξανάψαντες τὴν φλόγα, τὸν
πυρσὸν τῶν χαρίτων, τοῦ Πνεύματος τοῦ θείου, ἐξ Οὐρανοῦ, δαψιλῶς
ἐκομίσασθε, τῶν παθημάτων τὸν ζόφον ἐκ τῶν πιστῶν, ἀπελαύνειν συμπα-
θέστατα.

ΣΥ` τοῦ Χριστοῦ ἐπωνύμως κληθεὶς Χριστόφορε, κατάλληλον τοῖς τρόποις,
ἐκομίσω τὴν κλῆσιν. τὸν γὰρ Σταυρὸν ἐπ' ὤμων ἀναλαβὼν, τῷ Χριστῷ ἠκο-
λούθησας. οὗ καὶ τῷ θρόνῳ ἐν δόξῃ νῦν παρεστὼς, τῶν τιμώντων σε μνημό-
νευε.

Δόξα, ἦχος, πλ. α'.

ΝΑοὶ Θεοῦ τοῦ ζῶντος, δι' ἀρετῆς χρηματίσαντες Ὅσιοι, τὸν Ναὸν τῆς
Θεομήτορος, οἰκεῖν κατηξιώθητε, ἐν προσευχαῖς ἐπαγρύπνοις, αὐτὴν θε-
ραπεύοντες, δι' ἧς ὁ θεηγόρος Λουκᾶς ἀνιστόρησε, θείας αὐτῆς Εἰκόνος. χρη-
σμοδοτοῦσα γὰρ ὑμῖν δι' αὐτῆς, ἐν ᾧ ἡρετίσατο Ὄρει, ποδηγετοῦσα μετῴ-
κισεν. ἔνθα καὶ θαυμάτων χαρίσμασι καὶ ζῶντας ὑμᾶς τοὺς αὐτῆς θεράπον-
τας, καὶ μεταστάντας ἐμεγάλυνε, χορηγοῦσα ὑμῖν ἐξ ἀνίκμου πέτρας Ὕδωρ
ζωῤῥυτον, νοσημάτων παντοίων φάρμακον, σώματος θεραπείαν, ψυχῆς
ἁγιασμὸν τῶν προστρεχόντων, πιστῶς τῷ τεμένει αὐτῆς. δι' ὃ Πανόσιοι, μὴ
διαλείποιτε πρεσβεύοντες, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων τὴν Μνή-
μην ὑμῶν.

Καὶ νῦν, ὁ αὐτός.

ΣΑλπίσωμεν Φιλέορτοι ἐν ὕμνοις, σκιρτήσωμεν ἐν Ὕδασι, καὶ χορεύσω-
μεν εὐφραινόμενοι, τοῖς ἀενάως πλημμυροῦσι τῆς ζωηφόρου Πηγῆς. Βασι-
λεῖς καὶ Ἄρχοντες συντρεχέτωσαν, καὶ Πηγῆς τὴν Χάριν προχείτωσαν ἀφθό-
νως.



νος. Βασιλεῖς γὰρ ἔσωσε, τοὺς ἐν κλίνῃ συσχεθέντας δὲ τῇ προσψαύσει ἐξα-
νέστησε. Ποιμένες τε καὶ σύμπαντες, τῆς ὀμβροφόρου Νεφέλης, τὸ σωτή-
ριον Ὕδωρ, συνελθόντες ἀρυσώμεθα. οἱ ἐν νόσοις ἀπαλλαγὴν, οἱ ἐν κινδύνοις
τὴν ῥῶσιν. τὴν ἀναψυχὴν οἱ ἐν δίψει, τὰ ὄμματά τε οἱ τυφλοί. οἱ κωφεύον-
τες τὴν εὐηκοΐαν, τὴν ἰατρείαν οἱ καχεκτοῦντες. οἱ ἐν θανάτοις τὴν ζωηφό-
ρον. οἱ πάντες τὴν πανταχοῦ πιστοῖς προῤῥέουσαν, ὕδατα Σωτηρίας, ἀνακρο-
τήσαντες, οὕτω κράζωμεν. ἀείζωα προχέουσα νάματα, ἐκ πηγῆς Ἁγνὴ μὴ
διαλίπῃς Παρθένε, πρεσβεύουσα πάντοτε ὑπὲρ τῶν δούλων σου.

Δοξολογία Μεγάλη.

Εἰς τὴν συνήθη Λιτὴν, Στιχηρὰ Ἰδιόμελα.

ἦχος, πλ. α'.

ΠΑ'τερ Βαρνάβα, τῆς φωνῆς τοῦ Εὐαγγελίου τοῦ Κυρίου ἀκούσας, τὸν κόσμον
κατέλιπες. τὸν πλοῦτον καὶ τὴν δόξαν εἰς οὐδὲν λογισάμενος. ὅθεν πᾶσιν ἐβόας.
ἀγαπήσατε τὸν Θεὸν, καὶ εὑρήσατε χάριν αἰώνιον. μηδὲν προτιμήσητε τῆς
ἀγάπης αὐτοῦ. ἵνα ὅταν ἔλθῃ ἐν τῇ Δόξῃ αὐτοῦ, εὑρήσητε ἀνάπαυσιν μετὰ
πάντων τῶν Ἁγίων. οὗ ταῖς ἱκεσίαις Χριστὲ, φύλαξον καὶ σῶσον τὰς Ψυ-
χὰς ἡμῶν.

ἦχος, ὁ αὐτός.

ὍΣιε Πάτερ, οὐκ ἔδωκας ὕπνον σοῖς ὀφθαλμοῖς, οὐδὲ τοῖς βλεφάροις σου
νυσταγμὸν, ἕως οὗ τὴν Ψυχὴν καὶ τὸ Σῶμα τῶν παθῶν ἠλευθέρωσας, καὶ
σεαυτὸν ἡτοίμασας τοῦ Πνεύματος καταγώγιον. ἐλθὼν γὰρ ὁ Χριστὸς σὺν τῷ
Πατρὶ, μονὴν παρὰ σοὶ ἐποιήσατο. καὶ τῆς ὁμοουσίου Τριάδος θεράπων γενό-
μενος, μεγαλοκήρυξ Σωφρόνιε, πρέσβευε ὑπὲρ τῶν Ψυχῶν ἡμῶν.

Δόξα, ἦχος, πλ. β'.

ἘΠὶ τῇ Μνήμῃ τῶν Ὁσίων, Χριστοφόρου, λαοὶ καὶ φυλαὶ, Βαρνάβα καὶ
Σωφρονίου, ὁμοφρόνως συνδράμωμεν, ᾀσματικὴν ὑμνολογίαν, τῷ Κυρίῳ
προσοίσοντες τῷ τοὺς Ὁσίους δοξάσαντι. μεταστήσας καὶ γὰρ αὐτοὺς εἰς μονὰς
τῶν Οὐρανῶν, συνηρίθμησεν Ἀγγέλοις, θρόνον τὸν τῆς ὑπερουσίου Τριάδος ὁρᾷν
ὁλόφωτον. ἀλλ' ὦ θεῖοι Ἀσκηταὶ, πρεσβεύοντες τῷ Θεῷ ἡμῶν μὴ ἐλλείπη-
τε, τοῦ σῶσαι τὰς Ψυχὰς ἡμῶν.

Καὶ νῦν, ἦχος, ὁ αὐτός.

ΤΗ͂ ἀθανάτῳ σου Κοιμήσει, Θεοτόκε Μήτηρ τῆς Ζωῆς, νεφέλαι τοὺς Ἀπο-
στόλους,

ςόλες, αἰθερίες διήρπαζον. καὶ κοσμικῶς διεσπαρμένες, ὁμοχώρες παρέςησαν τῷ ἀχράντῳ σε Σώματι. οἱ καὶ κηδεύσαντες σεπτῶς, τὴν Φωνὴν τοῦ Γαβριὴλ μελῳδοῦντες ἀνεβόων. Χαῖρε κεχαριτωμένη, Παρθένε Μήτηρ ἀνύμφευτε. ὁ Κύριος μετὰ σοῦ. μεθ' ὧν ὡς Υἱόν σε καὶ Θεὸν ἡμῶν, ἱκέτευε σωθῆναι τὰς Ψυχὰς ἡμῶν.

Εἶτα Ἐκτενή, Ἐλέησον ἡμᾶς ὁ Θε: Ὅτι ἐλεήμων. καὶ τὸ Πληρώσωμεν τὴν Ἑωθινὴν δ:

Σὸν γὰρ ἐςὶ τό. Σοφία. Ὁ ὢν εὐλογητ: καὶ Ἀπόλυσις.

Δίδοται καὶ ἅγιον Ἔλαιον τοῖς Ἀδελφοῖς ἐκ τῆς Κανδήλης τῶν Ὁσίων.

Καὶ αἱ Ὧραι κατὰ τάξιν ἐν τῷ Νάρθηκι.

Ἐς τὴν Λειτυργίαν Τυπικά. οἱ Μακαρισμοί, ιβ'. ἐκ τῆς γ'. ᾠδῆς τῦ κανόνος τῆς Ἑορτῆς, δ'. τῶν Πατέρων, δ'. καὶ ἐκ τῆς ς'. τῦ Ὁσίυ Χρισοφόρυ, δ'.

Προκείμενον τῦ Ἀποςόλυ, ἦχος, βαρύς. $\overset{χ}{ς}$ ί:

Τίμιος ἐναντίον Κυρίυ ὁ θάνατος τῶν Ὁσίων αὐτῦ.

Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν;

Πρὸς Ἑβραίυς Ἐπιςολῆς Παύλυ.

Ἀδελφοί, πείθεσθε τοῖς Ἡγυμένοις. Ζήτει. Ἰαννυαρίυ, ιζ.

Εὐαγγέλιον, ἐκ τῦ κατὰ Μάρκον.

Εἶπεν ὁ Κύριος, ὅςις θέλει ὀπίσω μυ ἀκολυθεῖν.

Ζήτει, Σεπτεμβρίυ. Κυριακῆ μετὰ τὴν Ὕψωσιν.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔςαι Δίκαιος.

Καὶ Ἀπόλυσις.

Ἐς τὴν τράπεζαν Παράκλησις μεγάλη τοῖς Ἀδελφοῖς:

Μεγαλυνάρια.

Τὴν τιμιωτέραν τῶν Χερυβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν λόγον τοκοῦσαν. τὴν ὄντως Θεοτόκον σε μεγαλύνομεν.

Ἄλαλα τὰ χείλη τῶν Ἀσεβῶν, τῶν μὴ προσκυνύντων, τὴν Εἰκόνα σου

τὴν



τὴν σεπτὴν τὴν ἱςορηθεῖσαν ὑπὸ τοῦ Ἀποςόλυ, Λουκᾶ ἱερωτάτυ, τὴν Ὁδηγήτριαν.

Ἐκλάμπει σοῖς θαύμασιν ἡ σεπτή, Εἰκών σου Παρθένε, ἡ κειμένη ἐν τῇ Μονῇ, τοῦ ὄρους Μελέα, πηγάζουσα ἀφθόνως, ἡμῖν τὴν θεῖαν χάριν, καὶ μέγα ἔλεος.

Δεῦτε τὴν Τριάδα τὴν θαυμαςήν, τὸν θεῖον Βαρνάβαν, καὶ Σωφρόνιον τὸν κλεινόν, σὺν τῷ Χρισοφόρῳ, τῷ ὄντως φερωνύμῳ, τὺς ἐν Μελᾶ τῷ Ὄρει, ὕμνοις τιμήσωμεν.

Τέλος τῆς ἱερᾶς Ἀκολυθίας.
καὶ τῷ ἐν Τριάδι ὑμνυμένῳ μόνῳ Θεῷ.
Δόξα.

Ὁ τύπος τῆς παρύσης Ἑορτῆς τῶν Ὁσίων Πατέρων, εἰ τύχῃ ἐν Κυριακῇ.

Χρὴ εἰδέναι, ὅτι ἐὰν τύχῃ ἡ παρῦσα Ἑορτὴ τῶν Ὁσίων ἐν Κυριακῇ ἔχυσα Ἀγρυπνίαν. Ἐν τῷ μικρῷ Ἑσπερινῷ, μετὰ τὸ εἰπεῖν τὸν Ἱερέα, Εὐλογητὸς ὁ Θεός, εὐθὺς ἄρχεται ὁ Ἐκκλησιάρχης τῦ Προοιμιακῦ Ψαλμῦ. καὶ ἐν ταυτῷ ἀμέσως ὁ Ψάλτης τό: Κύριε ἐκέκραξα, ἐν ᾧ εὐθὺς ἱςῶμεν $\overset{χχ}{ις}$: ς'. Ἀναςάσιμα τοῦ ἤχου, γ'. καὶ τῶν Ὁσίων, γ'. ἦχος, $\overset{λ}{π}$ β'. πρὸς Τριήμερος ἀνέςης. Δόξα, τῶν Ὁσίων, ἦχος, β'. Δεῦτε οἱ τῶν ὑπερκοσμίων ἐραςαί. Καὶ νῦν τὸ Δογματικὸν τῦ ἤχυ. Φῶς ἱλαρόν, τὸ Προκείμενον, Καταξίωσον Κύριε. καὶ εὐθὺς τὸν Ἀπο$\overset{χ}{ς}$ι, ἐν ᾧ ψάλλομεν, Ἀναςάσιμα τοῦ ἤχυ, γ'. καὶ τῶν Ὁσίων, γ'. ἦχος, β'. πρὸς, Οἶκος τοῦ Εὐφραθᾶ. καὶ τό, Δόξα, Καὶ νῦν. μετὰ δὲ τό, Νῦν ἀπολύεις, Τρισάγιον, καὶ Ὅτι σῦ. Τροπάριον Ἀναςάσιμον τῦ ἤχυ, Δόξα, τῶν Ὁσίων, ἦχος, $\overset{λ}{π}$ δ'. Τῷ τῆς Θεόπαιδος χρισμῷ. Καὶ νῦν, τῆς Ἑορτῆς, ἦχος, α'. Ἐν τῇ Γεννήσει τὴν παρθ. καὶ Ἀπόλυσις.

Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν Ψαλμ. καὶ τό, Μακάριος ἀνήρ, τὸ ὅλον Κάθισμα. εἰς τὸ Κύριε ἐκέκραξα, ἱςῶμεν $\overset{χχ}{ς}$. ι'. καὶ ψάλλομεν, $\overset{χχ}{ς}$ι. Ἀναςάσιμα τῦ ἤχυ, γ'. καὶ τῆς Ἑορτῆς, γ'. ἦχος, α'. Ὢ τῦ



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ

Ὢ τοῦ παραδόξου θαύματος. καὶ τῶν Ὁσίων, ἦχος, πλ. α΄. πρὸς, Ὅσιε Πάτερ, Πάτερ Βαρνάβα. Δόξα, τῶν Ὁσίων, ἦχος, πλ. δ΄. Τὴν τῶν Πατέρων καλλονήν. Καὶ νῦν, τὸ, Δογματικὸν, τοῦ ἤχου. Εἴσοδος, Φῶς ἱλαρὸν, τὸ Προκείμενον, καὶ τὰ Ἀναγνώσματα. α΄. Βασιλειῶν τρίτης τό. Ἔστη Σολομῶν κατὰ πρόσωπ. β΄. Σοφίας Σολομῶντος τὸ ἀνά. Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι. γ΄. Σοφίας Σολ. Δίκαιος ἐὰν φθάσῃ.

Εἰς τὴν Λιτὴν, τῶν Ὁσίων στιχηρὰ Ἰδιόμελα, ἐν τῷ Νάρθηκι ψάλλομεν, οὔσης Ἀρτοκλασίας, ἦχος, α΄. β΄. γ΄. δ΄. πλ. α΄. πλ. β΄. βαρύς. πλ. δ΄. Δόξα, Καὶ νῦν, τῶν Ὁσίων, ἦχος, α΄. Θεαρχίῳ νεύματι, ἄραντες. Σῶσον ὁ Θεὸς τὸν Λαόν σου. καὶ τὰ ἑξῆς κατὰ τάξιν, ὡς γέγραπται ἐν τῷ Εὐχολογίῳ.

Εἰς τὸν στίχ. στιχηρὰ Ἀναστάσιμον τοῦ ἤχου, καὶ τὰ κατὰ Ἀλφάβητον. Δόξα, τῶν Ὁσίων, ἦχος, δ΄. Τῶν ὑπὲρ νοῦν ἀγαθῶν. Καὶ νῦν, τῆς Ἑορτῆς, ἦχος, ὁ αὐτὸς, Τὴν πάνσεπτόν σου Κοίμησιν. Τροπάριον Ἀναστάσιμον τοῦ ἤχου, καὶ τῶν Ὁσίων, ἦχος, πλ. δ΄. Τῷ τῆς θεόπαιδος χρισμῷ. Δόξα, τῶν αὐτῶν, ἦχος, α΄. Τοὺς φαεινοὺς τρεῖς φωστῆρας. Καὶ νῦν, τῆς Ἑορτῆς, ἦχος, ὁ αὐτὸς, Ἐν τῇ Γεννήσει τὴν παρ. καὶ Ἀπόλυσις.

Εἰς τὴν Εὐλόγησιν τῶν Ἄρτων, εἰ εἰσί. Τροπάριον, Θεοτόκε Παρθένε, Δόξα, τῶν Ὁσίων, Τῷ τῆς Θεόπαιδος χρισμῷ. Καὶ νῦν, αὖθις, Θεοτόκε Παρθένε. καὶ ἡ Εὐχὴ τῶν πέντε Ἄρτων. τοῦ Κυρίου δεηθῶμεν. Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν ὁ εὐλογήσας τούς. Εἴη τὸ ὄνομα Κυρίου εὐλογη. γ΄. Κύριε ἐλέησον, γ΄. Δόξα, Καὶ νῦν, τὸν λγ΄. Ψαλμὸν, Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ. μέχρι τοῦ, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. καὶ εὐθὺς, τοῦ Κυρίου δεηθῶμεν. Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ ἔλθ. καὶ τὰ ἑξῆς.

Καὶ εἰ μὲν οὐκ ἔστιν Ἀγρυπνία, Σοφία. Ὁ ὢν εὐλογητ. καὶ Ἀπόλυσις. Εἰ δὲ ἔστιν, εὐθὺς Ἀνάγνωσις εἰς τὸν Χρυσόστομον, εἰς τὸ Εὐαγγέλιον τῆς τυχούσης Κυριακῆς.

Πρὸ δὲ τοῦ Ὄρθρου, μετὰ τὸν πεντηκοστὸν Ψαλμὸν, ψάλλομεν τὸν Τριαδικὸν Κανόνα τοῦ ἤχου. μὴ γενομένης Ἀγρυπνίας, ἢ Ἀρτοκλασίας, καὶ τὰ τῆς Λιτῆς τῶν Ὁσίων, κατὰ τάξιν. Καὶ τὰ δ΄. Τριαδικὰ Ἀναστάσιμα. Ἄξιόν ἐστιν ὡς ἀληθῶς τὴν Ὑπέρθεον ὑμνεῖν. Τρισάγιον. Ὅτι σοῦ.





καὶ τὰ Κατανυκτικὰ Τροπάρια, ἦχος, πλ. β΄. Ἐλέησον ἡμᾶς Κύριε ἐλέ: καὶ τὰ ἑξῆς τοῦ Μεσονυκτικοῦ.

ἘΝ τῷ Ὄρθρῳ, εἰς τὸ, Θεὸς Κύριος. Τροπάριον Ἀναστάσιμον τοῦ ἤχου, δὶς, τῶν Ὁσίων, Τῷ τῆς Θεόπαιδος χρισμῷ. Δόξα Ἕτερον, Τοὺς φαεινοὺς τρεῖς Φωστῆρας. Καὶ νῦν, τῆς Ἑορτῆς, Ἐν τῇ Γεννήσει τὴν παρθ. εἰς τὰ Καθίσματα τῆς στιχολογίας. Καθίσματα Ἀναστάσιμα τοῦ ἤχου, μετὰ τῶν Θεοτοκίων αὐτῶν. ὁ Ἄμωμος. τὰ Εὐλογητάρια. ἡ Ὑπακοὴ τοῦ ἤχου. ὁ Πολυέλεος. εἶτα τὰ Καθίσματα τῶν Ὁσίων, ἅπαντα κατὰ τάξιν. καὶ εὐθὺς Ἀνάγνωσις εἰς τὸν κατὰ πλάτος Βίον τῶν Ὁσίων Πατέρων, οὗ ἡ ἀρχή, Τὴν τῶν σεπτῶν Εἰκόνων σχετικὴν προσκύνησιν. οἱ Ἀναβαθμοὶ τοῦ ἤχου, καὶ τὸ Προκείμενον. Πᾶσα πνοή, Εὐαγγέλιον Ἑωθινόν. Ἀνάστασιν Χριστοῦ θεασ. ὁ Πεντηκοστὸς Ψαλμός. στιχηρὰ Ἀναστάσιμα. μετὰ δὲ τὸν ἀσπασμὸν τοῦ Εὐαγγελίου. Σῶσον ὁ Θεὸς, καὶ τὰ ἑξῆς.

ΟἹ Κανόνες, ὁ Ἀναστάσιμος τοῦ ἤχου, εἰς δ΄. τῆς Ἑορτῆς, εἰς δύω. ἐκ τοῦ πρώτου Κανόνος, ἄνευ Εἱρμοῦ, ἦχος, α΄. τῶν Ὁσίων εἰς η΄. ὁ πρῶτος Κανὼν τῶν Πατέρων, ἦχος, β΄. πρὸς, Ἐν βυθῷ κατέστρωσε ποτέ. ὁ δεύτερος τοῦ Ὁσίου Χριστοφόρου, ἦχος, γ΄. πρὸς, Ἀνοίξω τὸ στόμα μου. Καταβασία τῆς Ἑορτῆς Πεποικιλμένη τῇ θείᾳ δόξῃ. καὶ τὸ, Ἀνοίξω τὸ στόμα μου. Ἀπὸ τρίτης ᾠδῆς, Κοντάκιον μετὰ τοῦ Οἴκου Ἀναστάσιμον τοῦ ἤχου, καὶ τῆς Ἑορτῆς ὁμοίως. Καθίσματα τῶν Ὁσίων κατὰ τάξιν. Ἀφ᾽ ἕκτης, Κοντάκιον τῶν Ὁσίων, ἦχος, δ΄. πρὸς, Ἡ παρθένος σήμερον. Ὁ Βαρνάβας σήμερος. ὁ Οἶκος, καὶ ὁ κατ᾽ ἐπιτομὴν Βίος αὐτῶν. Ἐν τῇ θ΄. ᾠδῇ στιχολογεῖται ἡ Τιμιωτέρα, καὶ τὰ δ΄. Ἀναστάσιμα, καὶ τὰ Μεγαλυνάρια τῆς Ἑορτῆς, καὶ τῶν Ὁσίων, κατὰ τάξιν. Εἰς τὸ, Ἅγιος Κύριος, Ἐξαποστειλάριον, Ἑωθινὸν, καὶ τῶν Ὁσίων, μετὰ τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοὴ, ἱστῶμεν στίχ. η΄. καὶ ψάλλομεν στιχηρὰ Ἀναστάσιμα τοῦ ἤχου, γ΄. τῆς Ἑορτῆς γ΄. ἦχος, δ΄. πρὸς, Ὡς γενναῖον. ἐν Μάρτ. Τῇ ἐνδόξῳ Κοιμήσει σου. καὶ τῶν Ὁσίων, δύω. ἦχος, α΄. πρὸς, Τῶν Οὐρανίων Ταγμάτων. Τοὺς θεοφόρους Πατέ. καὶ τὸ, Σὺ τοῦ Χριστοῦ ἐπωνύμως. Δόξα, τῶν Ὁσίων, ἦχος, πλ. α΄. Ναοὶ Θεοῦ τοῦ ζῶντος. Καὶ νῦν, Ὑπερευλογη-

λογημένη. Δοξολογία Μεγάλη. Τροπάριον Ἀνασάσιμ. Ἀνασὰς ἐκ τοῦ μνή-
ματος, ἢ Σήμερον σωτηρία τῷ κόσμῳ.

Ἡ Συνήθης Λιτὴ ἐν τῷ Νάρθηκι, ἐν ᾗ ψάλλομεν $\overset{\chi\chi}{\varsigma}$ι. Ἰδιόμελα τῶν
Ὁσίων, ἦχος, $\overset{\lambda}{\pi}$ α΄. καὶ, $\overset{\lambda}{\pi}$ β΄. Δόξα τὸ, Ἑωθινὸν τοῦ ἤχου. Καὶ
νῦν, τῆς Ἑορτῆς, Σαλπίσωμεν Φιλέορτοι ἐν ὕμνοις. Εἶτα Ἐκτενὴ, Ἐλέη-
σον ἡμᾶς ὁ Θεὸς κατά. Ὅτι ἐλεήμ. Πληρώσωμεν τὴν Ἑωθινὴν δέησιν.
Σὸν γάρ ἐςι τὸ ἐλεεῖν. Σοφία. Ὁ ὢν εὐλογητός. καὶ Ἀπόλυσις.

☞ Εἰς τὴν Λιτὴν, ὁ Ἱερεὺς, προπορευομένης αὐτοῦ Λαμπάδος, ἀπέρχεται
καὶ θυμιᾷ τὴν Εἰκόνα, ἢ τὰ Ἱερὰ Λείψανα τῶν Ὁσίων. εἶθ' οὕτω γίνε-
ται Ἀσπασμὸς τῶν θείων Εἰκόνων, ἢ Λειψάνων. Καὶ χρίονται Ἅγιον
Ἔλαιον ἐκ τῆς Κανδήλης τῶν Ὁσίων οἱ Ἀδελφοὶ, παρὰ τοῦ ἱερωμένου
Προεςῶτος.

Καὶ ἡ Πρώτη Ὥρα ἐν τῷ Νάρθηκι, καὶ αἱ λοιπαί. Ἐν ταῖς Ὥραις,
Τροπάριον τὸ Ἀνασάσιμον τοῦ ἤχου. Δόξα, τῶν Ὁσίων, Καὶ νῦν, Θεο-
τοκίον τῆς Ὥρας.

Εἰς τὴν Λειτουργίαν, Τυπικά. οἱ Μακαρισμοὶ, ιβ΄. Ἀνασάσιμα τοῦ ἤχου,
δ΄. ἐκ τῆς τρίτης ᾠδῆς τῶν Πατέρων, δ΄. καὶ ἐκ τῆς, ς΄. τοῦ Ὁσίου Χριςο-
φόρου, δ΄. τὸ Εἰσοδικὸν Ἀνασάσιμον. Τροπάριον τοῦ ἤχου, Ἀνασάσιμον.
καὶ τῶν Ὁσίων, καὶ τῆς Ἑορτῆς. ἡ Ὑπακοὴ τοῦ ἤχου, Κοντάκιον τῶν
Ὁσίων καὶ τῆς Ἑορτῆς. τὸ Τρισάγιον. Προκείμενον, Ἀπόςο-
λον, Ἀλληλουάριον, Εὐαγγέλιον, καὶ Κοινωνικὸν, πρῶτον τὸ Ἀνασάσι-
μον, εἶτα τῶν Ὁσίων, ὡς γέγραπται. Εἰς τὴν Τράπεζαν, Πα-
ράκλησις Μεγάλη τοῖς Ἀδελφοῖς. εἰ ἔςι, δ΄, ἢ, ς΄. λύσις Οἴνου καὶ
Ἐλαίου.

☞ Σημείωσαι, ὅτι καὶ ἐν τῷ Καιρῷ τῶν Ἀκρίδων, ψάλλεται ἡ παροῦσα
Ἀκολουθία, μόνη, ἄνευ τῶν τῆς Ἑορτῆς.

Ἴσον



Ἴσον ἀπαράλλακτον τῆς Καθολικῆς Διαθήκης,

Τῶν Ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν Βαρνάβα καὶ Σωφρονίου.

Ἐν Ὀνόματι,

τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος.

Ἀμήν.

Ὅστις ἀποκαρεῖ, ὦ Τέκνα, καὶ ὑπομείνει ἐν τῷ τόπῳ τούτῳ τῷ Ἐρη-
μικῷ καὶ Στενῷ καὶ Βιαίῳ καὶ Ψυχρῷ ἕως τῆς τελευταίας αὐτοῦ ἀναπνοῆς
συντηρῶν καὶ τὰ τῆς μοναδικῆς ἄξια. εἴτι καὶ ἂν ὡς Ἄνθρωπος ἁμάρτοι,
ἀσφάλειαν τίθημι τὴν μόνην Θεοτόκον, ἐν ἡμέρᾳ κρίσεως συγχώρησιν εὕροι παρὰ
τοῦ δικαίως κρίνοντος τὰ πάντα, καὶ μηδεὶς ἀπιςείτω. οὐ γὰρ ἄδικος ὁ Θεὸς τοῦ
ἐπιλαθέσθαι τοῦ κόπου, καὶ τοῦ τρόπου ἐπιμετρῆσαί τε ἑκάςῳ τὴν Σωτηρίαν τὸ
κατὰ δύναμιν, τὸν Κανόνα τὸν παρ' ἐμοὶ τῷ ἀθλίῳ παραδεδομένον, φυλάτ-
τειν ἀσφαλῶς τε καὶ ἀόκνως, καὶ ἀνοθεύτως, οἷον, τοῦ Μεσονυκτίου τε,
καὶ Ὀρθρινῆς Δοξολογίας, Πρώτης τε ὥρας, καὶ Τριτέκτης, ἱεροτελέσιά τε
ἀκριβῶς προσέχειν, Ἐννάτῃ τε καὶ Ἑσπερινῷ σὺν τῷ Ἀποδείπνῳ. ἐξαιρέτως
δὲ τὸ ἱερὸν Ψαλτήριον πάντα Μοναχὸν τὸν ἐπιςάμενον γράμματα, ἐκςηθί-
ζειν, γινώσκοντας, ὅτι ὁ Μόναχος Ψαλτήριόν ἐςι. νεκρώσας γὰρ τὰ πάθη,
κιθάρα καὶ τύμπανον τοῦ Ἁγίου Πνεύματος γίνεται. τὸ τριμερὲς τῆς Ψυχῆς
καθελὼν τῇ μαχαίρᾳ τοῦ Πνεύματος, ἅτινά εἰσι Θυμὸς, Ἐπιθυμία κα-
κὴ, καὶ Φιλοκτημοσύνη. καὶ ἐὰν ταῦτα ἀπροσκόπτως φυλάξητε, οὐ μακρὰν
ἐςὲ τῆς βασιλείας τῶν Οὐρανῶν. ἐγὼ γὰρ ἔγνων ὅτι μετὰ τὴν ἐμὴν ἀποδη-
μίαν, χρόνου τινὸς παρελθόντος, πάλιν ὁ τόπος οὗτος (οἴ μοι) ἄπορος γε-
νήσεται, συνοχῆς ἐθνῶν γενομένης. ἀλλ' οὖν ὕςερον δοξάσει πάλιν ἡ πανά-
χραντος τοῦ Θεοῦ ἡμῶν Μήτηρ τὸ ἑαυτῆς Οἴκημα, καὶ Ἀνάκτορον. πλὴν
οὐχ' οὕτως, ὡς νῦν τιμᾶται παρ' ἡμῖν ἡ Ταπεινοφροσύνη, ἡ Ἀκτημοσύνη, καὶ
τὸ Φιλήσυχον, ἀλλὰ Φίλαυτοι καὶ Φιλοκτήμονες, πλὴν ὅτι Σώφρονες. ἐπι-
σφραγίζων οὖν ταύτην μου τὴν ΔΙΑΘΗΚΗΝ, λέγω, ἐν Χριςῷ Ἰησοῦ,
τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. κατὰ τὸ



ἐκ

ἐῤκ. ἤτοι, 5920. Βοηδρομιῶνος ιη΄. ὁ ἐλάχιςος τῶν Ἱερομονάχων καὶ Προε-
ςὼς τῆς ἐν τῷ Μελᾷ Σεβασμίας Μονῆς τῆς Θεοτόκου.

Βαρνάβας ἐξ Ἀθηνῶν.

## Τȣ̃ Ὁσίȣ Σωφρονίȣ.

Ἀειπάρθενε Θεοτόκε, τοὺς ἐν τῷ θείῳ σου τούτῳ Ναῷ μετὰ πίςεως προσερχομένους Ἀδελφοὺς ἡμῶν ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διαφύλαξον, διδοῦσα αὐτοῖς πάντα τὰ πρὸς Σωτηρίαν αἰτήματα καὶ Ζωὴν τὴν αἰώνιον διὰ τοῦ ἀγαπητοῦ σου Πατρός ἡμῶν Βαρνάβα. ὑμεῖς δὲ, Ἀδελφοὶ καὶ Πατέρες καὶ Τέκνα ἐν Κυρίῳ ἀγαπητὰ, τὰ διατετυπωμένα ἐνταῦθα παρὰ τοῦ κοινοῦ Πατρὸς ἡμῶν Βαρνάβα σπουδαίως φυλάξατε, κατ᾽ ἴχνος αὐτῷ τὸν ἐνόντα τρόπον ἑπόμενοι. καὶ μὴ λυπεῖσθε. ἡ γὰρ Ὑπέραγνος Θεοτόκος, οὐ διαλείπει ταῖς πρεσβείαις τοῦ πιςοῦ αὐτῆς Θεράποντος καὶ Καθηγητοῦ ἡμῶν διαφυλάττουσα καὶ σκέπουσα ὑμᾶς, ὥςε ἀξίους παραςῆναι ἐν τῇ μελλούσῃ Ἡμέρᾳ τῆς κρίσεως, ἐκ δεξιῶν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριςοῦ. οὗ ἡ Χάρις, καὶ τὸ ἄπειρον Ἔλεος εἴη μετὰ πάντων ὑμῶν. ἀμήν.

καὶ Σωφρόνιος ἐξ Ἀθηνῶν.

## Εὐχὴ περὶ Ἀκρίδων τȣ̃ Ὁσίȣ Βαρνάβα, καὶ Σωφρονίȣ.

Δέσποτα Κύριε Ἰησοῦ Χριςὲ ὁ Θεὸς ἡμῶν, ὁ τῷ ῥήματί σου τὸ πᾶν ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγὼν, ὁ χοῦν λαβὼν ἐκ τῆς γῆς, καὶ πλάσας τὸν Ἄνθρωπον, καὶ Ψυχῇ, καὶ Εἰκόνι σοῦ τιμήσας αὐτόν. ὁ εἰπὼν, αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν. ὁ διδοὺς τοῖς κτήνεσι τροφὴν, καὶ τοῖς νεοσσοῖς τῶν κοράκων. ὁ καὶ ἐν τῇ μεγάλῃ καὶ σωτηρίῳ σου διὰ σαρκὸς ἐπιδημίᾳ χιλιάδας Ἄρτῳ χορτάσας πολλάς. σὺ ὁ πανάγαθος Δεσπότης, καὶ τούτους αὐτοὺς τοὺς ἐπικεκλημένους τὸ πανάγιόν σου Ὄνομα, τῇ παντουργῷ, καὶ μεγαλοδώρῳ σου Δεξιᾷ διάθρεψον, καὶ οἴκτειρον πάντας αὐτούς τε καὶ ἡμᾶς συμπαθῶς. Ναὶ Κύριε Ἰησοῦ Χριςὲ, σὸς λόγος ἐςὶ, τὸ Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν, ζητεῖτε, καὶ εὑρήσετε. δὸς οὖν καὶ ἡμῖν Ἁμαρτωλοῖς καὶ ἀναξίοις δούλοις σου τοῖς μετὰ πίςεως αἰτοῦσι, Δέσποτα, τὸ παρὰ σοῦ μέγα Ἔλεος. καὶ λύτρωσαι αὐτοὺς ἐκ τῆς πανολέθρου ταύτης Ἀκρίδος, ὅπως μὴ κατεσθίωσι τοὺς ςάχυας, καὶ τὴν τροφὴν τῶν δούλων σου,

χάριτι



χάριτι σοῦ καὶ τοῦ ἀνάρχου σου Πατρὸς, καὶ τοῦ Ἁγίου Πνεύματος, διὰ πρεσβείαν τῆς Παναχράντου σου Μητρός. ἀμήν.

## Σημείωμα.

Ἰστέον, ὅτι ἡ Σεβασμία αὕτη Βασιλικὴ καὶ Πατριαρχικὴ μεγίςη Μονὴ τῆς Ὑπεραγίας Θεοτόκου, τȣ̃ Σουμελᾶ, πλησίον Τραπεζȣ̃ντος κατὰ Ἀνατολὰς, ἐπὶ Θεοδοσίου τȣ̃ Μεγάλου, Βασιλέως Ῥωμαίων διὰ τοῦ Αὐγουςαλίȣ Κορτακίου εὐσεβεςάτου Βασιλέως Τραπεζοῦντος, ὑπὸ τῶν Ὁσίων Πατέρων Βαρνάβα καὶ Σωφρονίου τῶν ἐξ Ἀθηνῶν, διὰ τῆς θεομητορικῆς παρὰ τȣ̃ Εὐαγγελιςȣ̃ Λȣκᾶ ἱςορηθείσης Εἰκόνος ὁδηγȣμένων, ἐκτίσθη. κατὰ τὸ, 5894, ἀπὸ Ἀδὰμ, καὶ 386, ἔτος ἀπὸ Χριςοῦ.

Ὕστερον δὲ ἐρημωθεῖσα, παρὰ τȣ̃ Ὁσίου Χριςοφόρου ἐκ Γαζαρῆ χώρας Τραπεζοῦντος, ὁδηγίᾳ τῆς Θεοτόκου, ἀνεκαινίσθη, ἐπὶ Κώνςα Βασιλέως Ῥωμαίων ἔγγονος Ἡρακλείου κατὰ τὸ. 6152, ἀπὸ Ἀδὰμ, καὶ, 644, ἀπὸ Χριςοῦ.

Ἐκαλλωπίσθη δὲ μετὰ ταῦτα παρὰ τοῦ Μεγάλου Κομνηνοῦ καὶ Αὐτοκράτορος Ἀλεξίου Βασιλέως Τραπεζοῦντος, κατὰ τὸ, 6873, ἀπὸ Ἀδὰμ, καὶ, 1365, ἔτος, ἀπὸ Χριςȣ̃. καὶ τῶν καθεξῆς Κομνηνῶν Βασιλέων ὡς τὰ Χρυσόβȣλλα αὐτῶν βεβαιοῦσι.

Οὐ μὴν ἀλλ᾽ οὐδὲ οἱ Ὀθμανοὶ Βασιλεῖς ἀξυντελεῖς ἐγένοντο, τιμήσαντες αὐτὴν ἕκαςος κατὰ καιροὺς δι᾽ ἰδίων ὑψηλῶν καὶ ἰσχυρῶν Χάττι Σεῤῥιφίων. ὁ μὲν πρῶτος Σȣλτὰν Σελὴμ, υἱὸς τȣ̃ δευτέρȣ Σȣλτὰν Μπαϊαζίτη, κατὰ τὸ, 1515, ἔτος ἀπὸ Χριςȣ̃.

Ὁ Δὲ τρίτος Σȣλτὰν Μȣράτης, υἱὸς τȣ̃ δευτέρȣ Σȣλτὰν Σελὴμ, κατὰ τὸ, 1575, ἀπὸ Χριςȣ̃.

Ὁμοί-

Ὁμοίως δὲ καὶ οἱ Εὐσεβέστατοι Αὐθένται τῆς Βλαχομπογδανίας, κατὰ ζῆλον τῶν Ὀρθοδόξων Βασιλέων κινούμενοι, οὐδ᾽ ἔλειπον, ἐν ἰδίοις ἕκαστος αὐτῶν Χρυσοβούλλοις ἀφοσιούμενοι αὐτῇ τὸ τῆς τιμῆς ἐξαίρετον. ἀπὸ τοῦ ἐν Χριστῷ, 1650, ἔτους, μέχρι τοῦδε.

ΤΕΛΟΣ.

Ἐξοδ. 20




# ἹΕΡᾺ ἹΣΤΟΡΊΑ.

Κατὰ πλάτος (1) τῆς Βασιλικῆς καὶ Πατριαρχικῆς Σεβασμίας Μονῆς τῆς Ὑπεραγίας Θεοτόκου, τῆς Παναγίας τοῦ Σουμελᾶ.

Συντεθεῖσα παρὰ τοῦ Σοφωτάτου Διδασκάλου Κυρίου Νεοφύτου, Ἱεροδιακόνου, Πελοποννησίου τοῦ Καυσοκαλυβίτου.

Λόγος ἀποδεικτικὸς καὶ ἐξ αὐτῆς τῆς Παλαιᾶς Γραφῆς περὶ τῆς τῶν σεπτῶν Εἰκόνων σχετικῆς προσκυνήσεως. ἐν ᾧ καὶ κατ᾽ ἐπιτομὴν (2) Ἱστορία περί τε τῶν Μακαρίων καὶ Θεοφόρων Πατέρων Βαρνάβα, Σωφρονίου καὶ Χριστοφόρου, καὶ περὶ ἧς ὁ ἱερὸς Λουκᾶς ἱστόρησε σεβασμίας Εἰκόνος τῆς Θεοτόκου, ὅθεν τε καὶ ὅπως εἰς τὸ τοῦ Μελᾶ ὄρος μετηνέχθη.

Εὐλόγησον Πάτερ.

Τὴν τῶν σεπτῶν Εἰκόνων σχετικὴν προσκύνησιν, εἴτ᾽ οὖν τιμὴν παρέδωκεν ὁ τῶν ὅλων Θεὸς τοῖς γινώσκειν ἔχουσιν, ἃ ἀναγινώσκουσι. πρῶτον μὲν τὴν ἑαυτοῦ ἔμψυχον καὶ λογικὴν Εἰκόνα, ὃν λέγω, κατ᾽ εἰκόνα Θεοῦ ἔπλασεν Ἄνθρω- Γεν. α΄. 27.
πον, ὑπὸ πάσης τῆς δι᾽ αὐτὸν γενομένης ὁρατῆς κτίσεως, καὶ τιμώμενον καὶ ὑπηρετού-
μενον ἀναδείξας, „δόξῃ γὰρ καὶ τιμῇ στεφανώσας αὐτὸν κατὰ τὸν Ψαλμῳδὸν, κατέ- Ψαλμ. η΄. 6. Ῥωμ. α΄. 21.
„στησεν

(1) Πρὸς διαστολὴν τῆς ἑτέρας κατ᾽ Ἐπιτομὴν συντομωτάτης αὐτῆς Ἱστορίας.

(2) Ὁ Συγγραφεὺς κατ᾽ Ἐπιτομὴν ταύτην λέγει, ὡς ἐκ τῶν πολλῶν καὶ κατὰ πλάτος περὶ αὐτῆς συγγραψάντων ἐρανισάμενος, καὶ τὰ πολλὰ τούτων ἐάσας.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ροπορούσαν ὡς πρὸς Ἀνατολὰς οὕτως, ὥστε μέχρι τῶν νεφελῶν μεταωρισθεῖσαν, μηκέτι ὁρᾶσθαι. Φόβῳ τοίνυν καὶ χαρᾷ διοδευόντων αὐτῶν, ὁρᾷ πάλιν κατ' ἐκείνην τὴν ἑσπέραν ὁ Βασίλειος καθ' ὕπνους, ὡς εἴη ἀνελθὼν ἐπί τι οὐρανόμηκες καὶ συννεφὲς ὄρος, ἔνθα καὶ περιστρέφων πανταχοῦ τὰς ὄψεις, ἔδοξε θεωρεῖν πάλιν ἐν τοῖς δεξιοῖς ὑπὲρ τὸν Ἥλιον λάμπουσαν τὴν ἁγίαν Εἰκόνα, ἐν ἀμυθήτῳ τινὶ περὶ αὐτὴν πλήθει λευχειμονούν-
Ματθ. θ'. 12. των, καὶ τοιαῦτ' ἄττα παρ' αὐτῆς ἀκούειν λεγούσης, „Μὴ πτοηθῆς, Βασίλειε. ἐγὼ
Διονύσ. Ἀρεοπ. περὶ Οὐραν. Ἱεραρ. κεφ. ς'. „ γάρ εἰμι. μεταμφιασάμενος οὖν, ὥς σοι προεῖπον, τὸ ἀγγελικὸν Σχῆμα, μετὰ τοῦ „ σοῦ Ἀδελφιδοῦ, κατάλαβε τῇ ἐμῇ ὁδηγίᾳ, ὅπερ ἐντεῦθεν ὁρᾷς ὄρος, ἐν ᾧ αὐτὴ ἀνα„παύομαι. ἐκεῖ γάρ, Οἶκόν μοι σοῦ ἀνοικοδομήσαντος, πολλοὶ κατ' ἔρωτα Φιλοσοφίας „ συνελθόντες, εὑρήσουσιν ἀνάπαυσιν ταῖς Ψυχαῖς αὐτῶν. Καὶ ταῦτα εἰποῦσα ἀφανὴς ἐγένετο. ἀφυπνισθεὶς δὲ ὁ Βασίλειος, ἀνίσχοντος τοῦ Ἡλίου, εἴχετο τῆς ὁδοῦ χαίρων μετὰ τοῦ Σωτηρίχου.

Γενομένων δὲ αὐτῶν καθ' ὁδὸν ἔν τινι Μοναστηρίῳ, ὁ τότε Προϊστάμενος Θεόδουλος τοὔνομα, ἀρετῇ διαπρέπων, μετὰ πλείστης αὐτοὺς ὑπεδέξατο τῆς φιλοφροσύνης, ἐξ ἀποκαλύψεως προγνοὺς τὴν αὐτῶν ἄφιξιν. ὅστις, καὶ ἐξειπόντος οἱ τοῦ Βασιλείου καθ' ἕκαστον, ἣν ἔναγχος ἐπὶ τοῦ ὄρους εἶδεν ὀπτασίαν, καὶ ἃ προσετάγη, ἀπέκειρέ τε παραχρῆμα αὐτοὺς κατὰ τὸν τῆς Θεοτόκου πρὸς αὐτὸν χρηματισμόν, καὶ τὰ μοναχικὰ ἐνέ-
Μέγ. Βασ. ἐν τοῖς Ἀσκητ. δυσεν Ἄμφια, μετονομάσας τὸν μέν, Βαρνάβαν, τὸν δέ, Σωφρόνιον, τὸν Σωτήριχον.
Κύριλ. Ἱεροσ. Κατηχ. κατηχήσας τε αὐτοὺς τὰ τῆς μοναδικῆς πολιτείας ἐν ἡμέραις κατὰ τὸ ἔθος ἑπτά, ἀπέλυσεν ἐν εἰρήνῃ, ἀποδυρομένους τὴν τῆς ἀδελφότητος, καὶ μάλιστα τὴν τοῦ καλλίστου ἐκείνου Ποιμένος διάζευξιν.

Ἀναχωρήσαντες οὖν ἐκεῖθεν πρὸς Ἀνατολάς, θεωροῦσι πάλιν προσευχόμενοι τὴν ἑξῆς νύκτα ἐκστατικῶς ἐν ὑπερλάμπρῳ φωτὶ τὴν ὑπερύμνητον Θεοτόκον ὑπ' Ἀγγέλων
Ἰωάν. ιδ'. 27. καὶ κ'. 20. δορυφορουμένην, καὶ ὀνομαστὶ προσφωνοῦσαν ἑκάτερον αὐτῶν, καὶ λέγουσαν. „Εἰρήνη ὑμῖν. „Ἐγὼ γάρ εἰμι, μὴ φοβεῖσθε, ἀλλ' ἄπιτέ μοι χαίροντες ἐν Κυρίῳ, ἣν ἐγὼ ὑμᾶς ὁδη„γοῦσα, κατευθύνω ἐπὶ τὸ ὄρος ὁδόν. Διεγερθέντες τοίνυν περιχαρεῖς, μετὰ τρεῖς ἡμέρας καταλαμβάνουσι τὴν τῆς Κορίνθου (1) πόλιν Κολώνειαν (2), ἧς προήδρευε τὸ τηνικαῦ-
Κανὼν Ἀποσ. γ'. τα Πέτρος ὁ τοῦ ἀναχωρητοῦ Κυριακοῦ ἐκείνου θεῖος (3), ὅστις καὶ ἀσμένως ὑποδεξάμενος αὐτούς,

---

(1) Κόρινθος, τὸ πάλαι Μητρόπολις τῆς Ἀχαΐας, πύλη τῆς Πελοποννήσου, εὐπρέπεια τῆς Ἑλλάδος. εἰς αὐτὴν διέτριψεν ὁ θεῖος Παῦλος μῆνας δεκαοκτώ, καὶ δύω Ἐπιστολὰς πρὸς τοὺς Κορινθίους ἔγραψε. ἀπέχει ἀφ' ἑκατέρου Αἰγιαλοῦ, στάδια, 60. Μελέτ. Γεωγρ. Φυλ. 358.

(2) Κολώνεια τῆς Κορίνθου, καὶ Κολώνεια τῆς Ἑλλησπόντου, καὶ Κολώνη, καὶ κοινῶς Γρισό, πόλις τῆς Πελοποννήσου. Μελέτ. Φυλ. 371.

(3) Συμεὼν Μεταφρ. Βιβλίῳ Σεπτεμβρίου Μηνός, κθ'. Σημείωσαι ἐκ τούτου τοῦ ὁσίου Κυριακοῦ τοῦ ἀναχωρητοῦ, ἀκριβῶς τὴν χρονολογίαν τῶν ὁσίων Πατέρων, καθ' ἣν παρεγένοντο, ἐν τῷ ὄρει τοῦ Σουμελᾶ. ἦν γὰρ ὁ ὅσιος Κυριακὸς ὁ ἀναχωρητὴς ἐπὶ Θεοδοσίου τοῦ Μεγάλου, καὶ οὐχὶ ἐπὶ Λέοντος Μακέλου, ὡς ὁ Νικόδημος βούλεται. ὅρα, ἐν Μηνὶ Σεπτεμβρίῳ κθ'. καὶ ὄπισθεν Φυλ. 8. Ἀριθ. 5.



αὐτούς, ἐπεὶ ἐξ αὐτῶν μάθοι τὰ κατ' αὐτούς, ἐχειροτόνησεν Ἱερέα τὸν Σωφρόνιον. καὶ μετὰ τρεῖς ἡμέρας φιλοξενήσας, ἀπέλυσεν ἐν εἰρήνῃ. κἀκεῖθεν διελθόντες διὰ τῆς Μονῆς τῆς ἐν τῷ Στηρίῳ (1) τῆς Ἑλλάδος, τὴν ὀγδόην ἡμέραν κατήντησαν εἰς Λάρισσαν (2) προσκυνήσεως χάριν τῆς κόνεως Ἀχιλλείου, ἑνὸς τῶν ἐν Νικαίᾳ τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων Πατέρων (3). κἀκεῖθεν τριταῖοι παραγίνονται εἰς τὸ ὄρος τῶν Κελλίων (4). ἔνθα δὴ καὶ περινοστοῦντες τὰ τῶν Ἀσκητῶν καταγώγια, περιέτυχον καί τινι τῶν ἱερωσύνῃ τε καὶ τῇ τῶν μελλόντων προγνώσει διαπρεπόντων ἀνδρῶν. οὐ μὴν ἀλλὰ καὶ μυροβλύτου τινὸς Βαρβάρου, ὃς ἀπὸ λῃστάρχου διὰ μετανοίας ἄκρως τῷ Θεῷ εὐηρέστησε, τὴν λάρνακα κατασπασάμενοι, ἐξῆλθον τοῦ ὄρους, καὶ περιείρχοντο πρὸς Μεσημβρίαν πόλεις καὶ χώρας, ἕως οὗ εἴς τινα μονὴν τῆς Ὑπεραγίας Θεοτόκου παρεγένοντο.

Ἐκεῖθεν δὲ ἀναποδίσαντες εὐθὺ Μακεδονίας, ἔρχονται εἰς Θεσσαλονίκην (5), ἔνθα τὴν τοῦ μεγαλομάρτυρος Δημητρίου τοῦ μυροβλύτου σορὸν κατασπασάμενοι, συναντῶσιν ἐξελθόντες ἐκεῖθεν, ῥακενδύτῃ τινὶ μονάχῳ τοὔνομα Λαζάρῳ, ὃς ἐξ ἀποκαλύψεως τῆς Θεοτόκου πλανωμένους αὐτοὺς καταμαθὼν τῇ τοῦ Δαίμονος συνεργείᾳ ἀπὸ τῆς ἐπὶ τὸ ἁγιώνυμον Ὄρος τοῦ Ἄθω (6) φερούσης ὁδοῦ, προϋπήντησέ τε αὐτοῖς, καὶ εἰς τὸ ὄρος ὁδηγή-



---

(1) Στηρίον, ἥτις, καὶ Στίρι ὀνομάζεται, πόλις ποτὲ τῶν Φωκέων, κειμένη ἐφ' ὑψηλοῦ τόπου καὶ πετρώδους, κάτω δὲ ταύτης κεῖται τὸ ἱερὸν Μοναστήριον τοῦ Ὁσίου Λουκᾶ ὡραιότατον, ἐν τοῖς μετέπειτα κτισθὲν ὑπὸ Ῥωμανοῦ Βασιλέως. Μελέτ. Γεωγρ. Φυλ. 332.

(2) Λάρισσα τῆς Θεσσαλίας ἦν Μητρόπολις καὶ νῦν ἐστιν, ἀπέχουσα πρὸς Δυσμὰς τοῦ Θερμαϊκοῦ κόλπου μίλια 28, καί, 18, τῶν Φαρσάλων πρὸς Βορέαν. Μελ. Φυλ. 387.

(3) Συμ. Μεταφρ. ἐν Μηνολ. Μαΐου, ιε'.

(4) Ὄρος Κελλίων, ἴσως οἱ Γόμφοι, κοινῶς Σταγοί, πόλις ποτὲ τῆς Ἑστιώτιδος, εὑρισκομένη εἰς τὰ ὅρια τῆς Ἠπείρου, ἣν καὶ πρώτον εὑρίσκουσιν οἱ ἐρχόμενοι ἐξ αὐτῆς διὰ τοῦ Πίνδου ὄρους, τετιμημένη θρόνῳ Ἐπισκόπου, ὑπὸ τοῦ Λαρίσσης Μητροπολίτου. Περὶ αὐτὴν ἦν καὶ διάφορα (Βασιλικὰ) Μοναστήρια, Μετέωρα καλούμενα, κτισθέντα ἐπ' ἀκροτόμων Πετρῶν, εἰς ἃ διὰ κλίμακος κρεμαστῶν ἀνέρχονται. Μελέτ. Φυλ. 388.

(5) Θεσσαλονίκη, ἥτις πρότερον Θέρμη καὶ Ἀλία ἐλέγετο, Μητρόπολις τῆς Μακεδονίας, παραθαλασσία τοῦ Θερμαϊκοῦ κόλπου. Ἀπέχουσα πρὸς Δυσμὰς τοῦ Βυζαντίου, μίλια, 433. εἰς αὐτὴν ἐδίδαξεν ὁ Ἀπόστολος Παῦλος, καὶ δύω Ἐπιστολὰς πρὸς τοὺς Θεσσαλονικεῖς ἔστειλε. Μελέτ. Γεωγρ. Φυλ. 391.

(6) Ἄθων, ὄρος τὸ ὑψηλότατον τῆς Μακεδονίας, ὃ καὶ Ἅγιον ὄρος λέγεται, ἐν ᾧ καὶ Μοναστήρια Βασιλικὰ μέχρι τοῦ νῦν, 22, καὶ Κελλία. ἡ δὲ περίμετρος τοῦ Ἄθωνος, μίλια, 1500. Μελέτ. Γεωγραφ. 390.

ὁδηγήσας, ἐκείνους μὲν ἔν τινι τῶν περὶ τὴν ὑπώρειαν Μοναστηρίων κατέλιπεν, ἐφ' ᾧ
κατηχηθῆναί τε παρὰ τοῦ τῆς μονῆς Προϊσαμένου τὰ τῆς μοναδικῆς τάξεως, καὶ τἄλλα
ἱστορῆσαι Μοναστήρια. αὐτὸς δὲ εἰς τὴν ἰδίαν νέαν μονὴν τῆς Θεοτόκου, τοῦ Βατοπε-
δίου (1) τὴν μεγίστην ἐν Ἄθῳ μετελθὼν, ὑποδέχεται μετὰ τρεῖς μῆνας παραγενομένους
κἀκείνους. ὁ δὲ τῆς μονῆς Ἡγούμενος ἀναδιδαχθεὶς ἰδίᾳ παρὰ τοῦ εἰρημένου Λαζάρου ἅπαν-
τα τὰ κατ' αὐτοὺς, καὶ ὡς εἶεν τῆς Θεοτόκου θεράποντες, ηὐλόγησεν ἐπὶ τούτοις τὸν Θεόν
ἐν κατανύξει καρδίας, καὶ προσκαλεσάμενος αὐτοὺς ἐπὶ πάσης τῆς ἀδελφότητος, εὐ-
λαβῶς σὺν αὐτῇ κατησπάζετο. καὶ φιλοξενήσας, ὡς ἔθος, Κατήχησιν ἐν ἐκείνῃ τῇ νυ-
κτὶ συνέγραψεν, ἐπ' ὠφελείᾳ ἧς προΐστατο ἀδελφότητος, διδάσκων αὐτοὺς τὸ φιλόξε-
νον, καὶ μηδενὸς τῶν εὐτελῶν Μοναχῶν καταφρονεῖν, ἀλλὰ ἀσπάζεσθαί τε εὐπροση-
γόρως, καὶ Ἁγίους τούτους ἡγεῖσθαι, καὶ ὑποδεχομένους ἐν ταπεινοφροσύνῃ καὶ αὐτομεμ-
ψίᾳ, προθύμως ξενίζειν, καὶ ἄλλα τοιαῦτα. μετὰ δὲ τὴν τῆς φιλοξενίας ἑβδομάδα
ὑπομνησθεὶς ὁ Ἡγούμενος παρὰ τοῦ εἰρημένου Λαζάρου περὶ τῶν ξένων, ὅπως ἀπολύσῃ
αὐτοὺς, ὡς ὑπὸ τῆς Θεοτόκου προσκεκλημένους, ἐν ᾧ αὐτὴ ὥρισε τόπῳ· ὁ δὲ, δι' ὠφέ-
λειαν μᾶλλον τῆς ἀδελφότητος οὐ συγκατετίθετο. Ὁ δὲ Λάζαρος τῶν ἀμηχάνων ἐστί
φησι, Πάτερ, παραμένειν τούτους ἐνταῦθα. καὶ γὰρ οὐδ' αὐτός φησιν, εἰσηκούσθην,
πλεῖστα ἐπὶ τούτῳ δεηθεὶς τῆς Θεοτόκου. καὶ ἵνα γνῷς τὸ τῆς Θεομήτορος βούλημα, δεῦρο
μετ' ἐμοῦ ἐπὶ τὸ Νεώρειον. κατιόντες δὲ, ἰδοὺ Πλοῖον ὁρῶσι καταῖρον παρὰ τὰς ἀκτάς.
οἱ δὲ περὶ τὸν ναύκληρον ἐξελθόντες, ἀνεδίδασκον διαπυνθανομένους αὐτοὺς, ὡς ἥκοιεν ἀνα-
λαβεῖν τοὺς ἐνταῦθα δύω ξένους Μοναχοὺς, ὀνομαστὶ τούτων ἑκάτερον διαστείλαντες. χθὲς
γάρ φησιν, ἐν τῷ πελάγει δι' ἀπορίαν ὕδατος δίψει λειποψυχήσαντες, ἐδεόμεθα τοῦ
Θεοῦ, δοῦναι ἡμῖν ἐξ οὐρίας εὐθὺ τῆς Κύπρου διαπλεῦσαι. κἀν τούτῳ μικρὸν ὑπνώσας ὁρᾷν
ἔδοξα γυναῖκά τινα Βασιλικῇ καταστολῇ ὑπὲρ Ἥλιον λάμπουσαν, καί τινας περικαλλεῖς
καὶ λευχειμονοῦντας νεανίας ἐν κύκλῳ παρεστηκότας. καταπτήξαντος δέ μου, φησὶ πρός
με ἡ Βασιλὶς, ὀνομαστὶ προσφωνήσασα, „Οὐκ ἔστι σοι, Ναύκληρε Θωμᾶ, ἐπὶ Κύπρον
„ὁ πλοῦς, ἀλλ' ἀνακρούσας ἐπὶ τὸ τοῦ Ἄθω Νεώρειον, ἀναζήτησον δύω ἄνδρας Ἀθη-
„ναίους, Βαρνάβαν καὶ Σωφρόνιον. καὶ τούτους ἀναλαβὼν ἄξον εἰς πόλιν Μαρωνίαν.
Καὶ ταῦτα εἰποῦσα ἀφανὴς ἦν. ἐπὶ τούτοις οἱ περὶ τὸν Ἡγούμενον, δοξάσαντες τὸν Θεὸν
καὶ τὴν ὑπεραγίαν Θεοτόκον, συνταξάμενοι μετὰ δακρύων τοῖς ξένοις ἀπέλυσαν
αὐτούς.

Ἐπι-

(1) Αὕτη ἡ Βασιλικὴ τοῦ Βατοπεδίου Μονὴ τῆς Ὑπεραγίας Θεοτόκου τιμημένη ἐπ' ὀνόματι, τοῦ Εὐαγγελισμοῦ, ἐκτίσθη παρὰ τοῦ Μεγάλου Κωνσταντίνου, μετὰ δὲ χρόνους τινὰς κατεδαφισθεῖσα ὑπὸ τοῦ Παραβάτου Ἰουλιανοῦ, αὖθις ἀνακαινίσθη ὑπὸ τοῦ μεγάλου Θεοδοσίου διὰ τὸ γεγονὸς θαῦμα τῆς Ὑπεραγίας Θεοτόκου πρὸς τὸν αὐτοῦ υἱὸν Ἀρκάδιον. ὅθεν καὶ νέαν Μονὴν ἡ παροῦσα Ἱστορία ταύτην ὀνομάζει. Ἱστορ. τούτου τοῦ ἁγίου Ὄρους Μονας.



Ἐπιβάντες τοίνυν τῷ πλοίῳ, τεταρταῖοι διέπλευσαν εἰς Μαρωνίαν (1), ἦν γὰρ ἐ-
ρος ὁ ἄνεμος, κἀκεῖ ἐντυχόντες τῷ Ἐπισκόπῳ, ἔλεγον αὐτῷ διαπυνθανομένῳ τὰ
κατ' αὐτοὺς, ὡς εἶεν ἀπὸ τοῦ Ἄθω εἰς Ἱεροσόλυμα δῆθεν ἀπιόντες προσκυνήσεως χάριν.
ὁ δὲ, διελέγχων αὐτῶν τὴν προσποίησιν, τί οὖν δήποτέ φησιν, εἰς Ἱεροσόλυμα πλεῖν ὡρμη-
μένοι, τοῦ πλοίου ἀπέβητε, πρὸς Ἀνατολὰς, ὡς ὁρῶ, διαπλέοντος; τῶν δὲ, συγγνώ-
μην ἐπὶ τούτῳ αἰτησάντων, καὶ δεηθέντων, μηδενὶ ἐξειπεῖν τὰ καθ' ἑαυτοὺς, ἀλλ' ὡς
τάχος ἐξαποστεῖλαι. ὁ Ἐπίσκοπος συγγνώμην φησὶν ὑμῖν δίδωμι ἀπελθεῖν τέως ἐμοῦ
προπέμποντος, εἰς ὄρος τὸ Παππίκιον (2) καθ' Ἱστορίαν τῶν ἐκεῖ καὶ πλείστων καὶ
περιφανῶν Μοναστηρίων, καὶ μάλιστα Μοναστῶν, εἶθ' οὕτω τὴν ὑμετέραν ὁδὸν πορευ-
θῆναι. καὶ δῆτα συνεπινεύσαντας προπέμπει, ἐπιδοὺς αὐτοῖς καὶ ὁδηγὸν καὶ Γράμ-
ματα πρὸς τὸν τῆς ἐκεῖσε προὐχούσης μονῆς Προϊστάμενον. ὁ δὲ, ἐπιγνοὺς, ἐξ ὧν ἀνέγνω,
τὰ κατ' αὐτοὺς, πειρᾶσαι θέλων, ἐπηρώτησεν αὐστηρῶς λέγων, ὑμεῖς πόθεν ἐστέ; ὑπο-
κρινομένους γὰρ ὑμᾶς ὁρῶ τὴν εὐλάβειαν, στραφεὶς δὲ καὶ πρὸς τὸν ἐκείνων ὁδηγὸν Βησ-
σαρίωνα, λέγει, τί δή ποτε τοὺς πλάνους τούτους καὶ σκανδάλων τοῖς ἀδελφοῖς παραι-
τίους ὧδε ἤγαγες; οὐκ ἤκουσας τὸ μακαρίου πατρὸς ἡμῶν Βαρσανουφίου (3) διαγορεύοντος
τῶν Μοναχῶν τοὺς ἀστάτους ἔνδοθεν τῆς μονῆς τὸ παράπαν μὴ δέχεσθαι, ἀλλ' ἔξω τῆς
πύλης τὰ πρὸς χρείαν αὐτοῖς δόντας, ἀπαλλάττεσθαι τούτων, ἵνα μὴ εἰσελθόντες καὶ
τοὺς ἀδελφοὺς πλανήσωσι; καὶ λαβόμενος τῆς χειρὸς, ἐξέβαλεν αὐτούς. τοῦτο δὲ πε-
ποίηκεν ὁ θαυμάσιος ἐκεῖνος, ἵνα γνῷ, εἰ ἄρα ἐπαληθεύουσαν ἔχουσιν, ἣν αὐτοῖς ἐπεμαρ-
τύρει τὰ γράμματα θεοσέβειαν. Ἔνθεν τοι καὶ οὐδὲ δοθῆναι αὐτοῖς φαγεῖν, ἢ πιεῖν,
ἢ συλλαλῆσαί τινι τῶν ἐν τῇ Μονῇ τρεῖς ἡμέρας ἐπέτρεψεν. οἱ δὲ τοῦ Θεοῦ τῷ ὄντι θεράπον-
τες ἀσκανδαλίστως τε ἅμα καὶ ἀγογγύστως διεκαρτέρουν πρὸς τῷ πυλῶνι, ἐξαιτούμενοι
παρὰ τῆς Θεοτόκου τὰ σφίσι ξυμφέροντα. καὶ τῇ τρίτῃ ἡμέρᾳ φαίνεται ἡ Θεοτόκος ἐν
ὁράματι τῷ Προεστῶτι, λέγουσα αὐτῷ, „Ἰδοὺ πειράσας τοὺς ἐμοὺς θεράποντας, ἔγνως,
„ὅπερ εἰσὶν, ἐξ ἧς ἐπεδείξαντο δι' ἐμοῦ ὑπομονῆς, διακαρτερήσαντες, ἐν τριημέρῳ ἀσι-
„τίᾳ πρὸ τοῦ πυλῶνος τῆς μονῆς. νῦν οὖν ἀναλαβὼν αὐτοὺς, καὶ μικρᾶς τινὸς ἀξιώσας
„παραμυθίας, ἀπόλυσον πορεύεσθαι τὴν ὁδὸν αὐτῶν πρὸς Ἀνατολὰς, ἐπισχὼν αὐτοὺς
„τῆς τοῦ ὄρους περιηγήσεως. Ἀφυπνισθεὶς οὖν ὁ Ἡγούμενος, μεταστέλλεται τούτους διὰ τοῦ
εἰρημένου Βησσαρίωνος, καὶ παραγενομένων, ἐμβριμώμενος πάλιν φησὶν, ὁποῖοί τινές
ἐστε ὑμεῖς, καὶ πόθεν, καὶ ποῦ πορεύεσθε, οὕτως ἀφόβως ποιμαίνοντες ἑαυτούς; οἱ δὲ,
μετὰ θερμῶν δακρύων κάτω νεύοντες, χάριν, εἰπὸν, ὅτι πλείστην ὁμολογοῦμέν σοι, τί-
μιε Πάτερ, ἐφ' οἷς οὐδέποτε οὕτως, ὡς νῦν παρὰ σοῦ ὠφελήθημεν. νῦν οὖν ἐν ταῖς χερσί



σου ἐσμέν.

(1) Μαρωνία τῆς Θρᾴκης κατὰ τὴν Ἀκροθαλασσίαν, ταύτην καλεῖ ὁ Ὅμηρος Ἴσμαρον, τετιμημένη εἰς Θρόνον Ἀρχιεπισκόπου. Μελ. Φυλ. 419.

(2) Παππίκιον ὄρος, πλησίον τῆς Μαρωνίας, ἐν ᾧ ἦν ποτὲ Μοναστήρια, νῦν δὲ οὐδὲ ἕν.

(3) ὁ ὅσιος πατὴρ ἡμῶν Βαρσανούφιος, ὅστος ἦν ἐπὶ Κωνσταντίνου τοῦ Μεγάλου.

σαντες τὴν πύλην, ἐπεὶ ἤδισο κεκλεισμένην αὐτὴν τὰς πέντε τῆς Ἑβδομάδος ἡμέρας ἐν
τῇ Τεσσαρακονθημέρῳ νηστείᾳ φυλάττεσθαι, ἐκελεύσθησαν ἐκτὸς ἄχρι Σαββάτου
ξενοδοχεῖσθε. τὸ δὲ Σάββατον εἰσκαλεσάμενος αὐτοὺς ὁ Ἡγούμενος, ἐπυνθάνε-
το, τίνες τε εἶεν καὶ πόθεν, καὶ ποῖ πορεύοιντο. μαθὼν δὲ ὡς ὠφελείας χάριν περι-
τὸ, τίνες τε εἶεν καὶ πόθεν... ἔμειναν οὖν ἐκεῖ φιλοφρονούμενοι
Κανὼν Ἀπος. ή. καὶ θ'. νοσοῦσιν, ἐπηύξατο καὶ αὐτὸς σφίσι τὰ καταθύμια. ἔμειναν οὖν ἐκεῖ φιλοφρονούμενοι
Σάββατον καὶ Κυριακὴν, μεταλαβόντες ἐν αὐτῇ καὶ τῶν θείων Μυστηρίων. μετὰ δὲ τὴν
Σύναξιν περιτυχόντες ἐκεῖσέ τινι τῶν ἐκ τοῦ Λάτρου ([1]) ὄρους σπουδαίων ἀδελφῶν, οὗ Ἀμ-
βρόσιος τοὔνομα, τὰ τῶν ἐν τῷ Λάτρῳ καὶ μονῶν καὶ μοναστῶν ἐκθειάζοντι, συνταξά-
μενοι τοῖς Ἀδελφοῖς πρὸς Ἑσπέραν ἐξίεσαν, συνοδοιπόρον σχόντες καὶ τὸν αὐτοὺς πρὸς
τὴν τοῦ Λάτρου ἱστορίαν διαθερμάναντα. καὶ ἀποκλίναντες ἐξ Ἑῴας ἐπὶ Νότον, ἔρχον-
ται δι' ἡμερῶν δέκα εἰς Ἔφεσον ([2]). κἀκεῖ παραγενόμενοι Μεσημβρίας εἰς τὸν ναὸν Ἰωάν-
νου τοῦ Θεολόγου καὶ Εὐαγγελιστοῦ προσευχῆς τε καὶ ἱστορίας χάριν, ὡς εὕροιεν κεκλεισμέ-
νας τὰς θύρας, τὴν τῆς προσευχῆς προβαλλόμενοι κλεῖδα αὐτομάτως αὐτὰς, ὢ τοῦ
θαύματος, ἀνέῳξαν. κἀκεῖνοι μὲν μετὰ τὸ εἰσελθεῖν καὶ προσεύξασθαι ἐξελθόντες,
εὐθὺ τοῦ Λάτρου διεπορεύοντο, ἀνεῳγμένας καταλιπόντες τὰς πύλας. ὁ δὲ τῆς Ἐφέσου
Πρόεδρος, ἐπεὶ ἀπηγγέλθη οἱ παρὰ τοῦ νεωκόρου, ὡς εὕροι πορευθεὶς Ἑσπέρας ἀνεῳγ-
μένας μὲν τὰς θύρας, καὶ τὰς κλεῖς αὐτοῦ που ἀποτεθειμένας, μηδὲν δὲ τῶν ἐντὸς
ἀφῃρημένον, ἢ μετακεκινημένον, ξυνιδὼν, τῶν τίς φησι, τέκνον, τοῦ Θεοῦ θεραπόντων
Ψαλ. ρμδ'. 20. ἡμῖν ἀγνοούμενος, τὸ παράδοξον τοῦτο ἐτερατούργησε. Θέλημα γάρ φησι, τῶν φοβου-
μένων αὐτὸν ποιεῖ, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται ὁ Θεός. πεμπταῖοι τοίνυν τὸ εἰ-
ρημένον ὄρος καταλαβόντες, (ἔνθα τῶν ἀσκουμένων τοὺς πάλαι ἀρχηγοὺς τῶν κατ' Αἴγυ-
πτον Μοναστηρίων ἀποίκους εἶναί φασιν, ἐπὶ Κωνσταντίνου τοῦ Μεγάλου διὰ τὰς ἐν Αἰγύ-
πτῳ βαρβαρικὰς τῶν Βλεμμύων ἑκάστοτε ἐπιδρομὰς, κατὰ ἀποκάλυψιν μετοικισθέν-
τας) συναντῶσιν ἐκ τῆς τῶν Κελλιβάρων ([3]) μονῆς ἐξιόντες, τῶν τινι πνευματοφόρων
καὶ προφητικῶν ἀνδρῶν. ὃς καὶ ἐκπλήξας αὐτοὺς, ἐφ' οἷς ὀνομαστὶ ἑκάτερον αὐτῶν προ-
σεῖπε, καὶ περὶ τοῦ ὁδηγοῦ Ἀμβροσίου διεπυνθάνετο, ποῦ τε εἴη, καὶ ἵνα τί τῆς καλῆς
σφῶν ἀπελείφθη ξυνωρίδος; ἑξῆς ἐφ' ἣν ὁ μαθητὴς κατὰ κέλευσιν αὐτοῦ παρέθετο τρά-
πεζαν, προὐκαλεῖτο τοὺς ξένους, τῆς κατ' ἔθος ἐπιτραπεζίου εὐχῆς ἐκ περιχαρίας ἐπι-
λαθό-

---

(1) Ὄρος Λάτρου, καὶ Λάτμου, πλησίον τοῦ Μεάνδρου ποταμοῦ. εἰς τὴν Καρίαν τῆς ἐλάσσονος Ἀσίας. Μελ. Φυλ. 460 καὶ 467.

(2) Ἔφεσος, πόλις τὸ πάλαι ἔνδοξος, καὶ Μητρόπολις μεγάλη. πρὸς τοὺς αὐτοὺς Ἐφεσίους ὁ Ἀπόστολος Παῦλος γράφει Ἐπιστολήν. καὶ Ἰωάννης ὁ Εὐαγγελιστὴς πρὸς αὐτὴν διέτριβε, ἐν ᾗ καὶ ἡ Οἰκουμενικὴ Ἁγία Τρίτη Σύνοδος ὕστερον γέγονε, κατὰ τὸ 431, ἔτος ἀπὸ Χριστοῦ. Μελέτ. Γεωγρ. Φυλ. 466.

(3) Κελλιβάρων Μονὴ, καὶ Κολλιβάρων. ἐν ᾗ καὶ ὁ Ὅσιος πατὴρ ἡμῶν Ἀρσένιος μετὰ ταῦτα ἤσκει. Συμ. Μεταφρ. ἐν Μηνολ. Δικεμβρ. ιγ'.



λαθόμενος. ξυνιδὼν δ' ἔπειτα, ἐνεβριμήσατο τῷ μαθητῇ, εἰπὼν, τί τοῦτο, Τέκνον, πε-
ποίηκας, μὴ ὑπομνήσας με, ἧς ἐγὼ ἐκ τῆς πρὸς τοὺς ξένους περιχαρίας ἀμνημόνησα Εὐ-
χῆς; μικροῦ γὰρ ἐπέλιπον ἡμῖν οἱ ἐν τῷ Κοφίνῳ θεσπέσιοι ἄρτοι, μὴ εὐλογηθέντες σήμε-
ρον. ἢ ἀρεστόν σοι ἑκάστης ἡμέρας παραβάλλειν τῇ οἰκουμένῃ, ἄρτου βραχέος ἕνεκα; καὶ
ἐξαναστάντες εὐθὺς, ηὔξαντο τὰ συνήθη ἐπὶ τῷ Κοφίνῳ, εἶτα λέγει τῷ μαθητῇ, ἆρον,
τέκνον, ἀπὸ τῆς Τραπέζης τὰ ἀνευλόγητα τοῦ ἄρτου κλάσματα, καὶ παράθες ἐξ ὧν Ἀπος. Διαταγ. Βιβλ. ζ'. 10.
ἄρτι ηὐλογήσαμεν. ὁ δὲ πορευθεὶς λαβεῖν, εὑρίσκει τὸν Κόφινον, τῶν θαυμασίων σου
Χριστὲ Βασιλεῦ, μεστὸν προσφάτων καὶ καθαρῶν ἄρτων. καὶ ἐκπλαγεὶς ἀνέκραξε τὸ, Ματθ. ιϛ'. 9.
Δόξα σοι, Χριστὲ ὁ Θεός. ὁ δὲ γέρων, ὁρᾷς φησι, τέκνον, οἵας μὲν ἡμῖν μικροῦ σήμερον καὶ 10.
ἐγκαταλείψεως ὁ σὸς μετεωρισμὸς παραίτιος, οἵαν δὲ ἡ τοῦ Τρισαγίου Φωνὴ ἔχει τὴν δύ-
ναμιν ἐπὶ παρουσίᾳ μάλιστα τούτων τῶν τοῦ Θεοῦ θεραπόντων; μεταλαβόντες οὖν εὐχαρί-
στως τροφῆς, διετέλεσαν παννύχιοι τὰ πρὸς οἰκοδομὴν Ψυχῆς συνομιλοῦντες. πρωΐας δὲ
προειπὼν αὐτοῖς ὁ γέρων, τάτε σφίσι καθ' ὁδὸν συναντήσοντα, καὶ ὡς Λῃσταῖς περιπε-
σοῦνται, ἀπέλυσεν αὐτούς.

Πορευόμενοι δὲ, ἦλθον διαπλεύσαντες τὸν Μαίανδρον ([1]) ἐπί τινος λόφου. οἱ δὲ
περὶ τὴν ὑπώρειαν ὁδοστάται, ἐπιθέμενοι αἰφνιδίως ξιφήρεις αὐτοῖς τὴν νύκτα ἤδη καθεύ-
δουσι, διηρευνῶντό τε αὐτοὺς περὶ νομισμάτων, καὶ μηδὲν πλέον εὑρίσκοντες, ὧν εἶχον
τριχίνων ῥακίων, ἀποσφάζειν αὐτίκα ἠπείλουν, ἂν μὴ ἃ κατώρυξάν πῃ φασὶ χρήμα-
τα, φέροντες δῶσιν. οἱ δὲ, τὸν Θεὸν ἐπιμαρτυρόμενοι, ἔλεγον, οὐδὲν πλέον, ὦ τέκνα,
ἔχομεν, ὧν καὶ αὐτοὶ ὁρᾶτε ἐπιβλημάτων, καὶ τοῦ ξυλίνου τούτου Σταυροῦ, ὃν καὶ δεικνύν- α'. Κορινθ. α'. 18.
τες τῇ δεξιᾷ χειρὶ ἔλεγον, οὗτος ἡμῖν ὁ πᾶς πλοῦτος, οὗτος ὁ θησαυρὸς, αὕτη ἡ ἐλπὶς καὶ Γαλ. ϛ'. 14.
τῆς Σωτηρίας ἡμῶν. καὶ ἅμα τῷ λόγῳ ἔλαμψεν ὁ τίμιος Σταυρός. ὡς δὲ εἶδον οἱ Λῃσταὶ,
ῥίψαντες παραυτίκα τὰ ὅπλα, προσέπεσον τοῖς ποσὶ τῶν Πατέρων, αἰτοῦντες συγγνώ-
μην καὶ μεταμελόμενοι, οὐ μόνον ἐπὶ τοῖς προσφάτοις, ἀλλὰ καὶ ἐπὶ πᾶσιν ἁπλῶς τοῖς
προτετολμημένοις. τοῦ δὲ ἱεροῦ Βαρνάβα, οὗ τοῖς χείλεσιν ἡ πνευματικὴ Χάρις ἐπήνθει, Ἰωάν. ε'. 29.
ἔνθεν μὲν, ὑπομιμνήσκοντος αὐτοὺς τῆς ἐν τῇ φοβερᾷ ἐκείνῃ ἡμέρᾳ ἀφύκτου δίκης, καὶ
τῆς ἑξῆς αἰωνίου καταδίκης, ἔνθεν δὲ, παρακαλοῦντος αὐτῶν τὰς Ψυχὰς τῷ ὑποδείγμα-
τι ὧν ὁ Κύριος διὰ μετανοίας οὐ μόνον προσήκατο, ἀλλὰ καὶ ἐδικαίωσεν ἐπισήμων τοπά- Μάρκ. β' 17.
λαι Λῃστῶν, καὶ τελευταῖον τὰ πρὸς Σωτηρίαν αὐτοῖς ἐπευξαμένου, κατανυγέντες ἐπὶ Λουκ. κγ'. 43.
τούτοις τε καὶ τοῖς ὁμοίοις οἱ ἀνθρωπόμορφοι ἐκεῖνοι θῆρες, ἦραν ὁμοθυμαδὸν φωνὴν, ἐν
ἑνὶ στόματι λέγοντες, Πάτερ τίμιε, ἰδού σοι ἀπὸ τῆς σήμερον ἡμέρας παρακατατιθέ-
μεθα τὰς Ψυχὰς ἡμῶν καὶ τὰ σώματα, καὶ ὡς οἶδας, τὰ καθ' ἡμᾶς οἰκονόμησον.
ἀνα-

---

(1) Μαίανδρος Ποταμὸς, πλησίον τῆς ποτὲ Μυοῦς, πόλις τῆς Ἰωνίας, εἰς τὰ ὅρια τῆς Καρίας. Μελ. Φυλ. 467. οὗτος ὁ Ποταμὸς ἐκ τῆς αὐλοκρήνης τῆς Φρυγίας ἄρχεται, καὶ τόσον πλαγίως φέρεται, ὥστε φαίνεσθαι ἐπανακάμπτειν εἰς τὰς ἑαυτοῦ πηγάς. Μελ. Γεωγρ. Φυλ. 460.

ἀνακρίνοντος δὲ τοῦ θείου Βαρνάβα ἕνα ἕκαστον, ὁποῖός τις ἦν πρὸ τῆς λῃστείας, καὶ ὅθεν εἰς αὐτὴν μετεκυλίσθη. ὁ μὲν αὐτῶν ἐξαγορεύων, ἐγὼ, Πάτερ, ἔφη κακοτρόπου τινὸς Δεσπότου δοῦλος γενόμενος, καὶ διὰ τὸ ἐκείνου δύστροπον ἀποδράσας, οὐκ ἔτι ἠνεσχόμην ἑτέρῳ τινὶ δουλεῦσαι, ἀλλ' ἀπελθὼν συνεργίᾳ τοῦ Δαίμονος, ἐγενόμην, ὃ νῦν ὁρᾷς με. ὁ δὲ ἕτερος, ἐγώ φησι, τὸν ἴδιον Ἀδελφὸν μὴ συγκατατιθέμενον συμμερίσασθαί μοι τὰ τῆς πατρῴας οὐσίας ἀποκτείνας, ἡνώθην ἐλθὼν τῷ ἀνδρὶ τούτῳ. ὁ δὲ ἄλλος, ἐγώ φησιν,
Ἰάκωβ. ε΄. 16. Μέγ. Βασ. ἐν τοῖς Ἀσκητ. Ἐρωτ. σπη΄. Συνοδ. Καρθαγ. Καν. ε΄.
ἐξ ἁπαλῶν ὡς εἰπεῖν, ὀνύχων τῇ Λῃστείᾳ συντραφεὶς, ἐπεί ποτε ἀκήκοα, Δασμοφορίαν ποθὲν βασιλικὴν εἰς τὴν Κωνσταντινούπολιν διακομίζεσθαι, ἐγκαθεσθεὶς ὀχυρώματί τινι, πλείους μὲν τῶν διακομιζόντων ἀπέκτεινα, τῆς δὲ Δασμοφορίας ἐγκρατὴς γενέσθαι μὴ ἐξισχύσας, ἦλθον φυγὼν τοὺς ἀναζητοῦντάς με καὶ συνηριθμήθην τοῖν δυοῖν τούτοιν τρίτος. καὶ ἔχομεν ὧδε δεκαετίαν ἤδη ἐν φόνῳ μαχαίρας λῃστεύοντες τῶν ὁμοπίστων
Ἐζεκ. ιη΄. 23. καὶ λγ΄. 11.
τοὺς ἡμῖν περιπίπτοντας. ἐπειδὴ δὲ νῦν Θεοῦ συνεργείᾳ τοῦ μὴ θέλοντος τὸν θάνατον τοῦ καθ' ἡμᾶς ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτὸν, τοῖς ἁγίοις ὑμῖν Πατράσι περιετύχομεν, πρὸς αὐτοῦ τοῦ Σωτῆρος δεόμεθα ὑμῶν μὴ ἀμελῆσαι τῆς ἡμῶν Σωτηρίας. Ἀκούσας δὲ ὁ ἱερὸς Βαρνάβας αὐτῶν, τέκνα, ἔφη, εἴπερ ὅλως τοῖς τῆς ἀπογνώσεως βρόχοις μὴ συμπνιγόμενοι, γνησίαν καὶ ἀνυπόκριτον ἐμοὶ μὲν τὴν ὑπακοὴν, ἐφ' οἷς δὲ ἐτολμήσατε, τὴν μετάνοιαν ἐπιδείκνυσθε, δεῦτε καὶ γίνεσθε, ὡς ἡμεῖς. οὗτος γάρ ἐστιν ὁ τρόπος καὶ αὕτη ἡ ὁδὸς τῆς ὑμῶν Σωτηρίας. οἱ δὲ, ἅμα τε ταῦτα ἤκουσαν, καὶ οὐδὲ ἐνατενίσαι ἔτι τοῖς ὅπλοις ἠξίωσαν, ἀλλὰ καταλιπόντες αὐτὰ ἔνθαπερ ἔρριπται, ἄσμενοι τοῖς Πατράσιν ἐπηκολούθησαν, πρὸ Θανάτου μηδ' ὅλως αὐτῶν ἀποστῆναι διατεινάμενοι.

Σύνοδ. ζ΄. Οἰκουμ.
Ἐπανελθόντες τοίνυν τριταῖοι εἰς Ἔφεσον, προσῆλθον ἐν τῇ Συνάξει μετὰ τὴν τῶν θείων Εἰκόνων προσκύνησιν, καὶ τοῦ ἱεροῦ Τύμβου τοῦ Θεολόγου, ἀσπάσασθαι καὶ τὸν Πρόεδρον, συνεπομένων δίκην προβάτων καὶ τῶν εἰρημένων Λῃστῶν. ὃν καὶ ἀναδιδάξαντες ἐν παραβύστῳ τὰ καθ' ἑαυτοὺς, ἅττα φημὶ καθ' ὁδὸν καὶ πάθοιαν καὶ δράσειαν, ὑπέμνησαν αὐτὸν ἐπὶ τούτοις, καὶ περὶ ἧς οἱ νεοπαγεῖς ἐκεῖνοι Μοναχοὶ ἔχρῃζον μεταμ-
Περὶ Ἐκκλ. Ἱεραρ. Διονύσ. Ἀρ. Κεφ. ς΄.
φιάσεως. ὁ δὲ, παραλαβὼν αὐτοὺς, μετὰ τὴν Σύναξιν, τοὺς μὲν ἀποκείρας, μετημφίασε τὰ μοναχικὰ, Ῥασοφόρους μόνον, οὐ μὴν δὲ καὶ Κουκουλοφόρους τούτους τελέσας. τοὺς δὲ Πατέρας φιλοξενήσας, καὶ οἰκίσκον αὐτοῖς ἀφώρισεν εἰς κατάλυμα. τὴν δὲ νύκτα ἐκείνην τοῦ Προέδρου καθεύδοντος, ἐπιφανείς οἱ ἐν ὁράματι Ἰωάννης ὁ Θεολόγος, φησὶ, γινώσκειν σε βούλομαι, ὡς οὗτοί εἰσιν οἱ δύω ἐκεῖνοι Μοναχοὶ, οἷς ἐγὼ τὰς τοῦ Ναοῦ πύλας ἔναγχος διήνοιξα, ἀλλ' ὡς τάχος ἀπόστειλον αὐτοὺς ἐπὶ τὸ σύνεγγυς Γαλήσιον (1) ὄρος, γράψαι τῷ ἐκεῖσε Προϊσταμένῳ, ὥστε οὓς μὲν αὐτὸς ἀπεκείρω, ἐκ Λῃστῶν τῆς μετανοίας ἐργάτας τῇ οἰκείᾳ συναριθμῆσαι ἀδελφότητι, Βαρνάβαν δὲ καὶ Σωφρόνιον τοὺς Μοναχοὺς τὴν ἰδίαν αὐτῶν ὁδὸν ἐᾶσαι πορεύεσθαι. ἀφυπνισθεὶς οὖν ὁ Ἀρχιερεὺς, μετε-

καλέ-

(1) Γαλήσιον ὄρος, οὐ μακρὰν τῆς Κολοφῶνος κεῖται, ἥτις πόλις παραθαλασσία, διάσημός ποτε, καὶ θρόνος Ἐπισκόπου ὑπὸ τὸν Ἐφέσου. Μελ. Φυλ. 466.



καλέσατο κατ' ἰδίαν τοὺς εἰρημένους δύω Μοναχοὺς, καὶ διεπυνθάνετο ὁρκίζων μὴ ὑποστείλασθαι ἐξειπεῖν οἱ τὰ καθ' ἑαυτοὺς, ἐχεμυθεῖν μάλιστα πεφυκότι. οἱ δὲ, τὰ μὲν πρῶτα ὤκνουν, οὐδὲν ἀλλ' ἢ ἁμαρτωλοὺς ἑαυτοὺς καλοῦντες, τὸν ὁρκισμὸν ὅμως ἔσχατον διευλαβηθέντες, διηγήσαντο αὐτῷ ἄνωθεν ἅπαντα. κἀκεῖνος περιλαβὼν ὁμοῦ ἑκατέρους ἀμφοῖν ταῖν χεροῖν, κατησπάσατό τε ἐν ἁγίῳ Φιλήματι, καί φησιν, ἐπειδὴ ὑμεῖς, τέκνα, Ῥωμ. ιϛ΄. 16.
ἐθαῤῥήσατέ μοι τὸ καθ' ἑαυτοὺς Μυστήριον, οὐδὲ ἐγὼ κρύψω ὑμᾶς, ἅττα μοι ὁ θεῖος Ἰωάννης ὁ Εὐαγγελιστὴς τῇ νυκτὶ ταύτῃ ὑπὲρ ὑμῶν ἐν ὁράματι ἐπέσκηψε. τούτου γὰρ ἕνεκα ὥρκισα ὑμᾶς, ὡς ἂν ἐκ τοῦ καθ' ὑμᾶς Μυστηρίου τὸ τοῦ ἐμοῦ ὁράματος ὕποπτον ἢ ἀνύποπτον ἐπιγνώσωμαι. καὶ δὴ γνοὺς ἤδη τὰ ἑκατέρων Μυστήρια, ἀλλήλοις συμβαίνοντα, θαῤῥῶ κἀγὼ ὑμῖν τὰ ἐνδόμυχα. καὶ οὕτως ἐκκαλύψας ἐξ ἧς καὶ αὐτὸς ἅττα ὑπὲρ αὐτῶν κεχρημάτισται, ἀποστέλλει αὐτοὺς μετά τινος τῶν ἰδίων Κληρικῶν εἰς τὸ Γαλήσιον ὄρος, ἐπιδοὺς αὐτοῖς καὶ Ἐπιστολὴν πρὸς τὸν ἐκεῖ Προύχοντα, διδάσκουσαν αὐτὸν, ἅττα περὶ τῶν ἐπιδημούντων προσῆκε ποιεῖν. ἐλθόντων δὴ εἰς τὸ ὄρος, ὁ τότε Προϊστάμενος κατὰ τὸ τοῦ Ἀρχιερέως πρὸς αὐτὸν ἐπιστολιμαῖον διάγγελμα ὑποδεξάμενος αὐτοὺς φιλοφρόνως, τοὺς μὲν νεοπαγεῖς Μοναχοὺς παρακατασχὼν, τῇ ἑαυτοῦ ποίμνῃ συνέταξε, Βαρνάβαν δὲ καὶ Σωφρόνιον τῇ τρίτῃ ἡμέρᾳ ἐν εἰρήνῃ ἀπέλυσε, τὸ τούτων ἀπέριττον ὑπεραγάμενος.

Ἐπορεύοντο τοίνυν χαίροντες, καὶ δοξάζοντες τὸν Θεὸν ἐπὶ πᾶσιν, οἷς ἐποίει μετ' αὐτῶν. καὶ ἐλθόντες τριταῖοι εἰς Σμύρνην (1) ἐκεῖθεν διεπέρασαν τῇ πέμπτῃ ἡμέρᾳ ἀντικρὺ Λέσβου (2) εἰς τὸ ἀκρωτήριον τοὐπίκλην Λεκτὸν (3), καὶ τῇ ἑξῆς ἐπὶ τὴν κατὰ τὸν Ἑλλήσποντον Καλλιούπολιν (4), κἀντεῦθεν εἰς τὴν ἀντικρὺ Λάμψακον (5), ἔνθα κεῖται τὸ ἱερὸν σῶμα τοῦ ἐν Ἱεράρχαις θαυματουργοῦ Παρθενίου, ὃ καὶ ἐνθύμως κατασπασάμενοι, οὐ τῆς τυχούσης φιλοφροσύνης παρὰ τοῦ τηνικαῦτα Προέδρου ἀπήλαυσαν, θαυμάζοντος τῶν ἀνδρῶν τά τε ἄλλα, ἔτι μὴν καὶ τὸ ἀνυπόδετον, ὡς πληροῦσθαι καὶ ἐπ' αὐ- Ἡσαΐ. νβ΄. 7.
τῶν τὸ προφητικὸν ἐκεῖνο, „Ὡς ὡραῖοι οἱ πόδες τῶν Εὐαγγελιζομένων εἰρήνην. μετελθόν- Ῥωμ. ι΄. 15. Ναούμ, α΄. 15.

Γ 2 τες

(1) Σμύρνη, Πόλις διάσημος καὶ τὰ νῦν ὡραιοτάτη, ἔχουσα θρόνον Μητροπολίτου, πατρὶς τοῦ Ὁμήρου. Μελέτ. Φυλ. 464.

(2) Λέσβος, νῆσος Αἰολὶς, λεγομένη Μιτυλήνη, ἀντικρὺ ἀκρωτηρίων τῆς τοῦ Στερεᾶς τοῦ Λεκτοῦ, καὶ τῆς Κώνης. Μελέτ. Φυλ. 485.

(3) Λεκτὸν, ἀκρωτήριον θαλάσσης. ἐκτείνεται μέχρι τοῦ ὄρους Ἴδη. τοῦτο ἦν πλησίον τῆς Τρωάδος. Μέλ. Φυλ. 450.

(4) Καλλιούπολις, καὶ Καλλίπολις εἰς τὸ παραθαλάσσιον τῆς Προποντίδος Ἑλλησπόντου εὑρισκομένη, ἀντικρὺ τῆς Λαμψάκου, θρόνον ἔχουσα Ἐπισκόπου ὑπὸ τὸν Ἡρακλείας Μητροπολίτην. Μελέτ. Φυλ. 420.

(5) Λάμψακος, πόλις παραθαλασσία εὐλίμενος, καὶ ἀξιόλογός ποτε, Πιτυοῦσα πρότερον καλουμένη, παρεμπίπτει μεταξὺ τοῦ Παρίου καὶ τῆς Ἀβύδου Μελ. Φυλ. 452.

σποινα, ἡ πρόνοια, μοναχῷ τινι κατὰ χρηματισμὸν τῆς Θεοτόκου ἄρτους σφίσιν ἐπικο-
μίζοντι τρεῖς καὶ τυροὺς καὶ ὠά. εὐχαριστήσαντες οὖν ἐπὶ τούτοις τῷ Θεῷ, καὶ ἀνακτη-
σάμενοι ἑαυτοὺς ἐξῆς μετέσχον τροφῆς, κατέλυσαν ἥκοντες Ἑσπέρας ἔν τινι κώμῃ Κου-
σπίδα(1), παρὰ ποταμὸν πρὸς τῇ ὑπωρείᾳ παρά τινι τῶν φιλοξένων. ὡς δὲ ἀπὸ τοῦ σύνεγ-
γυς ὄρους, ᾧ τοὐπίκλην Μελᾶς (2), καταβαίνειν ἀκούσειαν τὸν Πυξίτην ποταμὸν, ἐξ οὗ
ἠλιεύθησαν οἱ παρατεθέντες σφίσιν ἰχθύες, ἱκέτευον ὁρκίζοντες τὸν ἁλιέα ὁδηγῆσαι αὐ-
τοὺς ἐπὶ τὸ ὄρος ἐκεῖνο. τοῦ δὲ καὶ αὐτοῦ ἀναμάρτητον ὁδηγὸν τὸν ποταμὸν αὐτὸν εἶναι
εἰπόντος, ἀναστάντες ἅμα πρωῒ, παρεπορεύοντο, ἐπ᾽ ἐλπίδι τοῦ μέχρις Ἑσπέρας, ἢ τὴν γοῦν
ἐπιοῦσαν κατιδεῖν πάντως τὸ ποθούμενον Σπήλαιον. ὅπερ καὶ γέγονε.

Ψαλ. ριη΄. 62. Τῇ γοῦν ἐξῆς ἀπὸ Μεσονυκτίου συνήθως εὐχόμενοι, ὁρῶσιν, ἀνατέλλοντος τοῦ Ἡλίου,
τὸ ὄρος, καὶ ἐν αὐτῷ πρὸς Δυσμὰς, τῶν θαυμασίων σου, Δέσποινα, Χελιδόνων ἑσμὸν
βοτρυδὸν τῶν μὲν, εἰσερχομένων, τῶν δὲ, ἐξερχομένων. τεκμηράμενοι τοίνυν ἐντεῦθεν
ἐγγὺς, μᾶλλον δὲ, ἀνὰ χεῖρας ἔχειν τὸ ζητούμενον, διέβησαν τὸν Ποταμὸν, καὶ τὸ
ὄρος ταλαιπώρως μὲν, οἷα συνηρεφές τε καὶ ἀδιόδευτον. ἐκθύμως δ᾽ οὖν πρὸς τὴν τῶν Χε-
λιδόνων πτῆσιν ἀνέβαινον. ὡς δὲ αὐτοῦ που ὑπὸ τὸ Σπήλαιον γένοιντο, διηποροῦντο, μὴ
ἔχοντες ὅθεν, ἢ ὅπως ἀνέλθωσι διὰ τὸ τοῦ μεταξὺ χάσματος βαθύκρημνον. καὶ ἐν ᾧ
ἐν ἀμηχανίᾳ περιεσκόπουν, ἰδοὺ ἕν τι τῶν ὑψικόμων δένδρων, τῶν θαυμασίων σου, Δέ-
Λουκ. ιζ΄. 6. σποινα, αὐτομάτως κατενεχθὲν, εὐθὺ τοῦ Σπηλαίου, κλίμακος τρόπον ἔστη. καὶ οὕτως
ἀνελθόντες εἰς τὸ Σπήλαιον (3), ηὐλόγουν ἔκθαμβοι τὸν Κύριον. αἱ δὲ Χελιδόνες καὶ ὡς
ἀπειροπληθεῖς, καὶ ὡς ἀήθεις ἀνθρώπων, τυχὸν δὲ καὶ τοῦ Διαβόλου κινοῦντος, ἐπήρ-
χοντο ῥοίζῳ σφοδρῶς οὕτω τὰς τῶν Ὁσίων κεφαλὰς πλήττουσαι, ὥστε περιαλγήσαντα
τὸν ἱερὸν Βαρνάβαν εἰπεῖν πρὸς αὐτὰς, τί δὴ τοῦτο; μὴ γὰρ καὶ τοὺς νεοσσοὺς ὑμῶν ἆραι
ἀνήλθομεν; χωρητικὸν καὶ ὑμῶν, εἰ βούλεσθε, τὸ Σπήλαιον. εἰδ᾽ οὖν, ἀποχωρεῖτε.
Γεν. α΄. 27. ἡμεῖς γὰρ κατ᾽ Εἰκόνα Θεοῦ γεγόναμεν. καὶ σὺν τῷ λόγῳ, ὢ τοῦ θαύματος, αἱ μὲν, κα-
ταλιποῦσαι τὰς ἑαυτῶν νοσσιὰς, πασσυδεὶ ᾤχοντο, φῶς δὲ ἀπὸ τῆς ἀκρωρείας ἀπή-
στραψε.

Καὶ καθορῶσιν ἰδοὺ ἐφ᾽ ὑψηλῆς τινὸς πέτρας τὴν προῤῥηθεῖσαν σεβασμίαν Εἰκόνα
τῆς Θεομήτορος. ἀφάτου τοίνυν πλησθέντες χαρᾶς, καὶ δόξαν Θεῷ τε καὶ τῇ Θεομή-
τορι ἀναπέμψαντες, ἤρξαντο μὲν ἐκκαθαίρειν τῆς ὕλης τὸ Σπήλαιον, διηποροῦντο δὲ ὅπως
ποτε τὸν τῆς Θεομήτορος Ναὸν ἀνεγείρωσι, τὸ τοῦ τόπου ἄνυδρον λογιζόμενοι. οὐ μὴν
ἀλλ᾽ εἰς ἀνάμνησιν ἐλθόντες, ὧν ἐξ ἀνίκμου πέτρας ἐπήγασεν ὑδάτων τῷ ἀγνώμονι τῶν
Ἑβραί-

(1) Κουσπίδα, καὶ νῦν Χώρα τῆς Μονῆς, ἧς ἀπέχει, ὥρας 6.
(2) Ὄρος Μελᾶ, ὑψηλὸν καὶ κατωρεφὲς, ἀπέχει τῆς Τραπεζοῦντος, ὥρας ιβ΄. ὅρα ὄπισθε Φυλ. 7. Ἀριθ. 3.
(3) Ἐν ᾧ τρεῖς χρόνους Ὁδοιπορίαν ποιήσαντες ἔφθασαν οἱ Ὅσιοι. Διονύσιος Ἀρχιεπίσκ. Χαλδίας, ἐν τῇ Ἀκολουθ. τῶν Ὁσίων, ἐκδεδομένῃ ἐν Βουκουρεστίῳ τῆς Οὐγκροβλαχίας ἐν Ἔτει, 1769.



ων λαῷ ὁ Κύριος, ἔχοντες δὲ καὶ αὐτοὶ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, καθὼς γέ- β΄ Κορινθ. δ΄. 13.
γραπται »Ἐπίστευσα, διὸ ἐλάλησα, πρὸς τὸν εὔπορον ἐν ἀπόροις, καὶ ἐν ἀμηχάνοις καὶ Ψαλ. ιε΄. 1.
εὐμήχανον Θεὸν διὰ νηστείας καὶ προσευχῆς καταφεύγουσι, Δέσποτα, λέγοντες.

» Κύριε, Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τὸν Ἰσραηλίτην πάλαι λαὸν διὰ Μωϋσέως Ἐξοδ. ιδ΄. 29.
» τῆς πικρᾶς τοῦ Φαραὼ δουλείας τῇ κραταιᾷ σου χειρὶ ἐλευθερώσας, καὶ ἐν ἐρήμῳ ἐκ Ἀριθ. κ΄. 11.
» πέτρας ὕδωρ διψῶντι πηγάσας, ὁ Ἠλιοῦ τὸν Θεσβίτην ἐκ τοῦ ξηροῦ χειμάῤῥου ποτί- γ΄. Βασ. ιζ΄. 4.
» σας, αὐτὸς καὶ ἡμᾶς τοὺς διὰ τῆς Παναχράντου σου Μητρὸς τῶν Αἰγυπτίων τοῦ κόσμου
» θορύβων διασωθέντας, ὡς οἶδας, διάθρεψον. Ναὶ, Δέσποτα, Χριστὲ Βασιλεῦ, μὴ
» παρίδῃς τοὺς δούλους σου, ἀλλ᾽ ὥς ποτε ἐπὶ Ἠλιοῦ τοὺς καταῤῥάκτας τοῦ οὐρανοῦ διανοί- γ΄. Βασ. ιη΄. 14.
» ξας, ὕδωρ κατέπεμψας, οὕτω καὶ νῦν διὰ τῆς Παναχράντου σου Μητρὸς ὕδωρ πιεῖν δι-
» ψῶσιν ἡμῖν ἐπίδος, δεόμεθα, ἵνα καὶ ἐν τούτῳ τῷ τόπῳ δοξασθῇ σου τὸ Πανάγιον ὀνο- Ἐξοδ. κ΄. 12.
» μα, σὺν τῷ Ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ Παναγίῳ καὶ ἀγαθῷ καὶ Ζωοποιῷ σου Πνεύ-
» ματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Στραφέντες δὲ καὶ πρὸς τὴν σεβασμίαν Εἰκόνα τῆς Θεομήτορος, ταῦτα ἐδέοντο.

» Δέσποινα Θεοτόκε, παναμώμητε, καὶ ἀειπάρθενε, ἡ ἐκ τῶν κοσμικῶν παγίδων
» ἡμᾶς διασώσασα ἕως ὧδε εἰς ὃν αὐτὴ ἠρετίσω τόπον. ἔπιδε ἐπὶ τοὺς δούλους σου, ὑπε-
» ρύμνητε Θεομῆτορ, καὶ μνήσθητι, ὧν ἡμῖν ἐπηγγείλω. ἔχεις καὶ γὰρ τῇ βουλήσει
» τὴν δύναμιν σύνδρομον, ὡς μητρικὴν κεκτημένη τὴν Παῤῥησίαν πρὸς τὸν πάντα δυνά-
» μενον. πήγασον οὖν ἡμῖν ὕδωρ ἐν τῷδε τῷ τόπῳ, καὶ πρὸς ἀναψυχὴν τῆς ἡμῶν ἀσθε-
» νείας, καὶ πρὸς ἀνοικοδόμησιν τοῦ ἱεροῦ σου Ναοῦ, ἵνα ἐν τούτῳ δοξάζοντες σέ τε, καὶ τὸν
» ἐκ σοῦ τεχθέντα Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν ἐν Πατρὶ καὶ Πνεύματι προσκυνούμε-
» νον, καὶ τὰ εὐάρεστα αὐτῷ ποιήσαντες, καταξιωθῶμεν διὰ σοῦ καὶ τῆς τῶν Οὐρανῶν
» Βασιλείας.

Καὶ μετὰ τὸ Ἀμὴν, τῶν ταχίστων σου δωρεῶν, Δέσποινα, φωνὴ γίνεται ἐκ τῆς σε-
βασμίας Εἰκόνος, »Ἰδοὺ, λέγουσα, ἀγαπητοὶ, δίδοται ὑμῖν ὕδωρ ἐξ ἀνίκμου πέτρας
» ἀέναον, οὐ μόνον σωματικῆς δίψης, ἀλλὰ καὶ πάθους παντὸς ἀκεσώδυνον τοῖς ἐν πί-
» στει μεταλαμβάνουσι. Καὶ ἅμα τῇ φωνῇ ῥαγεῖσα ἡ ὑπὲρ τοῦ Σπηλαίου ὑπὸ τὴν Ἁγίαν
Εἰκόνα πέτρα, σταγόνας ψεκάδων ἐστάλαξεν, ὡς καὶ μέχρι τῆς σήμερον φαίνεται μὴ
παυόμενος ὁ θεόμβρυτος οὗτος σταλαγμός. εὐχαριστήσαντες οὖν τῷ Κυρίῳ ἐπὶ τῷ καὶ πα-
ραδόξῳ καὶ ὑπερφυεῖ τῆς τοῦ ὕδατος ἀναδόσεως, πᾶσαν ἔκτοτε μικροψυχίαν ἐφ᾽ οἷς ἡ
Θεομῆτορ σφίσιν ἀπηγγείλατο, ἀπώσαντο. τέως μὲν δὴ κέλλαν τινὰ ἐν παραβύστῳ που
τοῦ Σπηλαίου σχεδιάσαντες, ἄσιτοι διεκαρτέρουν, ταῖς παραφυομέναις βοτάναις ἐν ἡμέ-
ραις ἑπτακαίδεκα διατρεφόμενοι. ὁ δὲ Κύριος ὁ καὶ τὸν Ἠλιοῦ πάλαι δι᾽ ὀρνέων δια- γ΄. Βασ. ιζ΄. 4.
θρέψας, οὐδὲ τὰς τούτων καρδίας μέχρι πολλοῦ ἀστηρίκτους τῷ ἄρτῳ κατέλιπεν. ὁ γὰρ
Ἡγούμενος τῆς πρὸς Δυσμὰς μονῆς τοῦ τιμίου Προδρόμου τῆς ἐν τῷ Ζαβουλὼν εἴτ᾽ οὖν Βαζε-
λὼν

λῶν (1), ἐπισκήψαντος οἱ καθ' ὕπνους τοῦ Βαπτιστοῦ Ἰωάννου, διέπεμψεν αὐτοῖς τρεῖς τινας τῶν ὑπ' αὐτὸν ἐπικομίζοντας σφίσιν ἐφ' ἡμιόνου τὰ τῆς αὐταρκείας, καὶ ὡς κατὰ χρηματισμὸν ἤκουεν ἀναγγέλλοντας. οὐ μὴν ἀλλὰ καὶ ἐν τῷ Εὐκτήριον οἰκοδομεῖν ἐπ' ὀνόματι τοῦ Ἀρχιστρατήγου Μιχαήλ, τῶν Φιλοχρίστων τινὲς ἐπιδημήσαντες, τὰ πρὸς τὴν χρείαν αὐτοῖς ἐπήρκεσαν. διεφημίσθη καὶ γὰρ τὰ κατ' αὐτοὺς ἐκ τῆς ἔγγιστα κώμης Κουσπίδα. καθιερώσαντες τοιγαροῦν τὸν εἰρημένον Εὐκτήριον δι' ὧν παρὰ τοῦ τῆς Τραπεζοῦντος Προέδρου μετεπέμψαντο εὐλαβεστάτων Κληρικῶν, ἤρξαντο ἔκτοτε οἰκοδομεῖν καὶ θεῖον Ναὸν τῆς ὑπερυμνήτου Θεοτόκου. θύρας σφίσιν ἁπανταχόθεν ἤδη ἀνεῳγυίας, καὶ πάντων τῶν πέριξ Φιλοχρίστων τὰ πρὸς τὴν προκειμένην χρείαν ἐκ περιουσίας ξυνεισφερόντων.

γ'. Βασ. ϛ'. 1. Μετὰ γοῦν τὴν τοῦ θείου Ναοῦ τελείωσιν, ἀνέβη καθ' ἱστορίαν μετὰ τῶν ἁπανταχόθεν συῤῥεόντων καὶ ὁ Εὐσεβέστατος Βασιλεὺς Τραπεζοῦντος, Κολχίδος, Λαζικῆς, Ζανίκων, καὶ Περατείας, Αὐγουστάλιος Κορτίκιος, παρὰ τοῦ τηνικαῦτα τὰ τῆς βασιλείας τῶν Περσῶν σκῆπτρα διέποντος, τῇ Τραπεζοῦντι προσφάτως ἐστεμμένος. καὶ ἦν κρυφίως Χριστιανὸς, καὶ οὐχὶ Πέρσης τὸ σέβας, τῇ τοῦ Θεοῦ οἰκονομίᾳ (2). ὅς τις καὶ ὑπερθαυμάσας ἔνθεν μὲν, τὸ περικαλλὲς τοῦ Ναοῦ, ἔνθεν δὲ, τὸ τῶν Ὁσίων ἀπέριττον, καὶ ἦν οὐδὲν ἧττον ὁ λαμπρὸς αὐτῶν βίος, ἢ ὁ λόγος ἀπήστραπτε χάριν, ἐκβαλὼν δίδωσιν αὐτοῖς δύο λύτρας χρυσίου. οἱ δὲ, τοῦτο μὲν οὐ προσήκαντο, μὴ χρῄζειν εἰπόντες τοὺς τὸν πολύτιμον

β'. Παραλ. ζ'. 5 ἐκεῖνον μαργαρίτην ἐμπορευομένους, ὧν οἱ τῶν ῥεόντων ἔμποροι χρῄζουσιν, ἠξίωσαν δὲ αὐ-

Σύνοδ. Καρθαγ. Καν. ϛ'. τὸν ἀντὶ τούτου ὑπομνῆσαι τὸν Πρόεδρον περὶ ἧς τέως ἔχρῃζον τοῦ Ναοῦ καθιερώσεως. ὁ δὲ, περιαλγήσας μὲν ἐφ' οἷς ἡ παρ' αὐτοῦ εὐλογία ἀπεδοκιμάσθη, κατανοήσας δὲ τῆς

Σύνοδ. Οἰκουμ. ζ'. Καν. ζ'. εἰς τὸ Σπήλαιον ἀναβάσεως τὸ δυσχερές τε καὶ ταλαίπωρον, μᾶλλον δὲ καὶ ἐπικίνδυνον, ἀθρόον τι μαρσίππιον νομισμάτων ἔνδον πη τῆς Μονῆς ἐν τῷ ἀπιέναι λαθὼν ἔθετο, δεόμενος τῶν Ὁσίων ἐν ᾧ συνέκλεισε γραμματείῳ, ὥστε δεξαμένους τὴν εὐτελῆ μου φησὶ δωρεὰν, τὴν τοῦ Σπηλαίου εὐθετῆσαι ἀνάβασιν, ἵν' ᾖ τοῖς πᾶσιν εὐδιάβατος. ὁ μὲν οὖν

Διονυσ. Ἀρεοπ. Ἐκκλησ. Ἱεραρχ. Κεφ. ε'. τῆς Τραπεζοῦντος Ἐπίσκοπος, ἐξ ὑπομνήσεως τοῦ εἰρημένου Βασιλέως ἀπελθὼν, σὺν αὐτῷ καθιέρωσε τὸν Ναὸν τῆς Θεοτόκου, κατὰ τὸ τριακοσιοστὸν ὀγδοηκοστὸν ἕκτον ἔτος ἀπὸ Χριστοῦ, ἀπὸ Ἀδὰμ, 5894. οἱ δὲ Ὅσιοι ἐκ τῶν τοῦ Βασιλέως νομισμάτων καὶ Κοιμητήριον ὑπὸ τὸ τοῦ Ναοῦ βῆμα ᾠκοδόμησαν.

Ἔκτοτε οὖν περιθρυλλουμένων ἔνθεν μὲν, ὧν ἡ ἱερὰ Εἰκὼν ἐτερατούργει, ἅπαν πάθος καὶ παντοίαν νόσον σώματος καὶ ψυχῆς τῶν μετὰ πίστεως προσερχομένων θεραπεύουσα, ἔνθεν δὲ, τῆς τῶν Ὁσίων ἀγγελικῆς πολιτείας, ὅ,τε τῶν ἀποτασσομένων ἀριθμὸς,

(1) Αὕτη ἡ Σεβασμία Μονὴ τοῦ τιμίου Προδρόμου καὶ πρότερον οὖσα, ὕστερον ἀνεκαινίσθη, ὑπὸ τοῦ Βασιλέως Ἰουστινιανοῦ τοῦ Μεγάλου, διὰ τοῦ αὐτοῦ Ἀρχιστρατήγου Βελισαρίου, καὶ Χρυσοβούλλου Βασιλικοῦ (Ξιφιλ. Πατρ.) ἀπέχουσα τῆς Τραπεζοῦντος ὥρας, 10, καὶ τῆς Σουμελᾶς, 8. ἀριστερά.

(2) Κῶδιξ Παμπάλ. καὶ Ἀθανάσ. Δαιμον. καὶ οἱ λοιποί.



μὸς, καὶ ὁ τῶν εἰς προσκύνησιν προσερχομένων προβαίνων ἐπληθύνετο, ὥστε τοὺς περὶ τὸν ἱερὸν Βαρνάβαν καὶ Ξενοδοχεῖον ἐν τῇ ὑποκειμένῃ νάπῃ οὐ μακρὰν τοῦ Σπηλαίου οἰκοδομῆσαι, τοῖς ἐκ μακρᾶς κεκμηκόσιν ὁδοιπορίας, ἵνα ἀνακτώμενοι ἑαυτοὺς ἐκεῖ, ἕξεις ὦσι πρός γε τὸ ἄναντες. οὐ μὴν ἀλλὰ καὶ ἱερὸν Ναὸν τῶν ἐν Βασιλεῦσιν Ἰσαποστόλων Κωνσταντίνου καὶ Ἑλένης (1) τοῦ θείου Βαρνάβα ἐκεῖσε ἀνεγείραντος. κατὰ ζῆλον τούτου καὶ ὁ ἱερὸς Σωφρόνιος Ναὸν ἕτερον ἐπ' ὀνόματι τῆς Ἁγίας Βαρβάρας (2) ἐδείματο. ὧν ἑκάτεροι ἐς δεῦρο διασωζόμενοι φαίνονται, ποτίμου καὶ ζῶντος οὐκ ἀμοιροῦντες ὕδατος. καὶ οὕτω προϊόντος τοῦ χρόνου, βατὸς ὁ ἄβατος ἐκεῖνος ἐγένετο τόπος καὶ κατῳκίσθη.

Ὁ δὲ θεῖος Βαρνάβας κατὰ ζῆλον τῶν πάλαι Πατέρων, Ἀντωνίου λέγω, Παχω- Σύνοδ. Γάγγρ.
μίου τε καὶ Ἱλαρίωνος (3), τὰς νενομισμένας τῶν Νηστειῶν ὑπαναχωρῶν τῆς Μονῆς, προΐ- Καν. 8.
στατο καὶ γὰρ αὐτῆς ἀντ' ἐκείνου ὁ ἴδιος Ἀδελφιδοῦς, ἱκανὸς ὢν ἤδη οἰκοδομεῖν τοὺς ἀδελφούς. ἐν τῇ ὑπερκειμένῃ ἐρήμῳ καθ' ἑαυτὸν διῆγε, ταῖς αὐτομάτως ἀνισχούσαις βοτάναις ἀρκούμενος. Καί ποτε Μηνὸς Βοηδρομιῶνος ἐν προσευχῇ ἑαυτῷ τε καὶ τῷ Θεῷ ὁμιλοῦντος, ἐν τῇ Σκήτῃ (4), καὶ τῇ ἀτροφίᾳ μικροῦ δεῖν ἐκλελοιπότος, θαυμαστόν τι οἷον ΦΩ͂Σ περιήστραψεν αὐτόν. καὶ ὁ μὲν, τῷ τε ἐμπαρασκεύῳ καὶ ἀπτοήτῳ τῆς διανοίας,
(ὑφωρᾶτο καὶ γὰρ μὴ τοῦ εἰς Ἄγγελον Φωτὸς κατὰ τὸν Ἀπόστολον μετασχηματιζο- β'. Κορινθ.
μένου σκοτεινοῦ Πνεύματος ᾖ) ἀτρέμας οὐδὲν ἧττον εἱστήκει, τὸ δὲ ἦν ἄρα τῆς ἐμφανείας ια'. 14.
τῆς Θεοτόκου προάγγελος. μετὰ γὰρ τὸ ΦΩ͂Σ ἡ τοῦ ἀνεσπέρου Φωτὸς Μήτηρ ἐμφανισθεῖσα αὐτῷ, ὡς αὐτή τε οἶδε κἀκεῖνος ἐχώρει, κατέχουσα τῇ μὲν δεξιᾷ χειρὶ τὸν τίμιον Σταυρὸν, τῇ δὲ ἑτέρᾳ κλάδον Ἐλαίας, ἐθάῤῥυνέ τε αὐτὸν, ἐπειποῦσα ἥτις εἴη, καὶ ἐπιδοῦσα τὰ ἐν χερσὶ, »Λάβε φησὶ, τὸν Ἀῤῥαβῶνα ὑπὲρ τῶν πολλῶν καὶ ἀσκητικῶν σου »ἱδρώτων, καὶ ἑτοιμάσθητι πρὸς τὴν ἔξοδον. τὴν γὰρ τρίτην ἡμέραν μετὰ τὴν ἐμὴν »Ἑόρτιον μνήμην ἀναλύσῃ ἐν εἰρήνῃ, καὶ προστεθήσῃ πρὸς τοὺς Πατέρας σου. Ὡς δὲ ταῦτα ἐκεῖνος ἀκέσοι, καὶ περὶ τοῦ ἰδίου Ἀδελφιδοῦ τοῦ τὰ αὐτὰ ξυνδιενεγκόντος οἱ γονυπετήσας ἐδεῖτο. ἡ δὲ, »Μηδέν σοί φησι, περὶ ἐκείνου μελέτω. ἑκατέροις γὰρ ὁ αὐτὸς »ἔσται τύμβος. ἡ μὲν οὖν Θεομήτορ ταῦτα εἰποῦσα, ἀφανὴς ἦν. τοῦδε ἠλλοιωμένου ὅλως ἐκ τῆς ἐρήμου κατελθόντος, οὐ μετρίως οἵ τε ἀδελφοὶ κἀκεῖνος παρεκλήθησαν, ὁ μὲν, ὡς εὑρὼν αὐτοὺς εἰρηνικῶς ἔχοντας, οἱ δὲ, ὡς τὸν ἑαυτῶν Πατέρα ἀπολαβόντες ὑγιαίνοντα.

(1) Μετόχιον, ἀπέχει τῆς Μονῆς ὥρας δ'. καὶ τῆς Τραπεζοῦντος η'.

(2) Ἀπέχων τῆς Μονῆς ἥμισυ τῆς ὥρας, πλαγίως τι ὀλίγον.

(3) Συμ. Μεταφρ. τὸν μὲν, Ἰαννουαρίου, ιζ', ἐν Μηνολ. τὸν δὲ Μαΐου ιε'. καὶ τὸν ἕτερον Μαρτίου, κα'.

(4) Ἥτις ἐστὶν ἐπάνωθεν τοῦ Σπηλαίου, ἐκ δεξιῶν, ἐν ᾗ καὶ Εὐκτήριος οἶκος, Εὐαγγελισμοῦ τῆς Θεοτόκου. ἀπέχων τῆς Μονῆς, ὥραν μίαν. καὶ ἐξ ἀριστερῶν τοῦ Σπηλαίου, τὸ τοῦ Δικαίου Συμεὼν, ἓν τέταρτον τῆς ὥρας Παρακλήσιον.

Ἰωάν. ιγ'. 14. » μησιν, μᾶλλον δὲ καὶ ἐντολὴν Χριστοῦ ταπεινοφρόνως νίπτοντας, ἵνα ἐν τῇ τῶν ἀλλο-
» τρίων ποδῶν νίψει καὶ τὸ τῆς ἡμετέρας Ψυχῆς χαλεπώτατον νόσημα τὴν οἴησιν θε-
» ραπεύσαντες συναπονίψωμεν. τῶν τῆς Μετανοίας πολυτρόπως ἐξευρημένων παρὰ τοῦ
» Σωτῆρος ὁδῶν, καὶ τῶν τῆς πολυμόρφου ἁμαρτίας ῥυπτικῶν τρόπων τὸν εὐχερέστερον καὶ
Ἰωὴλ, β'. 12. » ἀπονώτερον μεταδιωκτέον. εἴγε δάκρυα μὲν συντετριμμένης καρδίας, Νηστεία τε καὶ Προσ-
» ευχὴ καὶ χαμευνία, καὶ εἴ τι ἄλλο τῆς Μετανοίας ἐπωφελὲς φάρμακον, ἐμπόνως. τὸ
Ματθ. ϛ'. 14. » δὲ ἀφιέναι τοῖς ὀφειλέταις ἡμῶν, καὶ ἀπραγματεύτως ἡμῖν τὴν ἄφεσιν προμνηστεύε-
» ται, καὶ τοῦ λελυπηκότος ἡμᾶς δριμύτερον καθάπτεται, καὶ ἑαυτοῦ ἐπιγνώμονα, καὶ
» τῷ συγγνόντι εὐγνώμονα τὸν τέως ἀγνώμονα ἀπεργαζόμενον. ταῦτα ὑμῖν, Ἀδελφοὶ
» καὶ Πατέρες, ὑπομνήσεως χάριν ἐκ πολλῶν ὀλίγα τελευτῶν διεθέμην ἐγὼ, ὑμεῖς δὲ,
Κολοσσ. α'. 28. » ὡς συνετοὶ καὶ τὰ πλείω προσθέντες, μὴ κατοκνεῖτε νουθετεῖν τοὺς νέους τὰ βέλτιστα
» καὶ σωτήρια. τῷ καθ᾽ ἑαυτοὺς μάλιστα ὑποδείγματι πρὸς τὸν τῆς ἀρετῆς ἀγῶνα αὐ-
Ἰεζεκ. λγ'. 8. » τοὺς ὑπαλείφοντες, ὡς ἐκ τῶν ἰδίων χειρῶν τὰς ἐκείνων Ψυχὰς ἐν ἐκείνῃ τῇ Φοβερᾷ
» ἡμέρᾳ ἀπαιτηθησόμενοι. ἀλλὰ γὰρ καὶ οἱ Νέοι ὀφείλετε κατὰ τὴν ἐντολὴν τοῦ Ἀπο-
» στόλου πείθεσθαι τοῖς Ἡγουμένοις ὑμῶν, καὶ ὑπείκειν κατὰ πάντα τοῖς ἐν τῇ Ἀδελφό-
Ἑβραί. ιγ'. 17. » τητι Προϊσταμένοις. καθ᾽ ὅ,τι αὐτοὶ ἀγρυπνοῦσιν ὑπὲρ τῶν Ψυχῶν ὑμῶν, ὡς λόγον
» ἀποδώσοντες. καὶ οὕτως ἐν Κυρίῳ οἱ μὲν ἡγούμενοι, οἱ δὲ ἑπόμενοι, ἕξετε πάντως καὶ
» τὴν Ὑπέραγνον Θεοτόκον διὰ τῆς θείας αὐτῆς Εἰκόνος καὶ προστάτιν καὶ πρύτανιν,
» καὶ συνεφαπτομένην ὑμῖν ἐν πᾶσι τοῖς πρὸς Σωτηρίαν.

Ταῦτα δὴ ὑπαγορεύσας ὁ ἱερὸς Βαρνάβας, καὶ ἑτέραν τινὰ Ὑποτύπωσιν, λαβὼν παρὰ τοῦ Σωφρονίου τὸν κάλαμον, ἰδιοχείρως ἐσχεδίασε, γράψας οὕτως.

» Ὃς ἂν, ὦ Τέκνα, ἀποκαρεὶς παραμείνῃ εἰς τέλος ἐν τῷδε τῷ τῆς στενώσεως
Ἰάκωβ. α'. 25. » ἐρημικῷ καὶ ἀπαρακλήτῳ τόπῳ, συντηρῶν τὰ τῆς μοναδικῆς ἀκριβείας, ἐγγύας οἱ δίδω-
» μι αὐτὴν ταύτην τὴν Θεοτόκον, ἦ μὴν ἐν ἡμέρᾳ κρίσεως συγχωρήσεως τεύξεσθαι παρὰ τοῦ
Ἑβραί. ϛ'. 10. » δικαίου Κριτοῦ, ὧν ἐν τῷδε τῷ βίῳ ὡς ἄνθρωπος ἥμαρτεν. οὐ γὰρ ἄδικος ὁ Θεὸς ἐπιλα-
» θέσθαι, ὧν ἕκαστος ὧδε πρὸς δύναμιν ἐκοπίασε, καὶ μὴ ἐπιμετρῆσαι οἱ τὴν Σωτηρίαν,
» εἰ μόνον τῆς μοναδικῆς ὡς εἴρηται ἀκριβείας τά τε ἄλλα εἴη διατηρῶν, ἔτι μὴν καὶ τὸν
» ὑπ᾽ ἐμοῦ τοῦ ταπεινοῦ τετυπωμένον τῆς προσευχῆς Κανόνα, ἑπτάκις, ὡς γέγραπται,
Ψαλ. ριη'. 163. » τῆς ἡμέρας αἰνῶν τὸν Κύριον, Ὄρθρου φημὶ, Τρίτην τε καὶ Ἕκτην, Ἐννάτην τε καὶ
Ἀποσ. Διατ. Βιβλ. η'. 34. » Ἑσπέρας, Ὀψίας τε καὶ Μεσονυκτίου. καὶ τῆς ἱερᾶς Συνάξεως μὴ ἀπολιμπανόμε-
καὶ Βιβλ. β'. 57. » νος. τὸν δὲ γράμματα ἐπιστάμενον, καὶ τὸ ἱερὸν ἀποστηθίζειν Ψαλτήριον, εἰδότα ὡς καὶ
» ὁ Μοναχὸς τῇ τῶν παθῶν ἀπονεκρώσει Ψαλτήριον τοῦ ἁγίου Πνεύματος, οὐ μὴν ἀλλὰ
Ἐξοδ. ιε'. 4. α. Θεσσ. δ'. 5. » καὶ κιθάρα τυγχάνει καὶ τύμπανον, τὸ τριμερὲς τῆς Ψυχῆς καθελὼν τῇ μαχαίρᾳ τοῦ
» Πνεύματος, Θυμὸν λέγω καὶ Ἐπιθυμίαν καὶ Οἴησιν. οἱ γοῦν ταῦτα φυλάττοντες, οὐ
» μακράν εἰσι τῆς Βασιλείας τῶν Οὐρανῶν. ἐγὼ γὰρ οἶδα, ὅτι μετὰ τὴν ἐμὴν ἔξοδον τὸν
» τόπον τοῦτον τῇ τῶν ἐθνῶν συνοχῇ ἀνάστατον ἄχρι καιροῦ γεγονότα, δοξάσει μὲν πά-
» λιν ἡ τοῦ Θεοῦ ἡμῶν Μήτηρ τὸ ἑαυτῆς Ἀνάκτορον, μονοτρόπων ὡσαύτως πληρώσασα,
» οἵγε



» οἵγε μὴν τὸ τηνικαῦτα συνεληλυθότες, φίλαυτοι μᾶλλον ἔσονται, καὶ φιλοτιμό-
» νες, ἤπερ ἀκτήμονες καὶ φιλήσυχοι, ἧς κατεργάζονται Ἀρετῆς τέλος, ἐκ αὐτὸ τὸ β'. Τιμ. γ'. 1, 2, 3, 4, 5.
» καλὸν, τὴν φιλαυτίαν δὲ μᾶλλον τιθέμενοι. Ἐπισφραγίζων οὖν τὴν ἐμὴν Διαθήκην ἐν
» Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, οὕτω γράφω (1).

Ὁ Ἐλάχιστος τῶν Ἱερομονάχων, καὶ Προεστὼς τῆς ἐν τῷ Μελᾷ Σεβασμίας Μονῆς τῆς Θεοτόκου

Βαρνάβας ἐξ Ἀθηνῶν.

Βοηδρομιῶνος Ὀγδόῃ Μεσοῦντος (2),
κατὰ τὸ (3), ϡΚ. (4)

Ἐπὶ γοῦν οἷς ἐγγράφως διέθετο, καὶ ἕτερα πλείω τοὺς παρόντας τῶν φοιτητῶν ἀπὸ στόματος κατηχήσας καὶ ἐπευξάμενος αὐτοῖς, τοὺς μὲν εἰς διακονίαν ἀπέστειλε, τὸν δὲ Σωφρόνιον δίψην δῆθεν προσποιησάμενος, ἐνεγκεῖν ᾐτήσατο ἐκ τῆς κατὰ τὴν Ἁγίαν Βαρβάραν (5) πηγῆς ὕδωρ, ἵνα φησὶ, πίω, καὶ εὐλογήσῃ σε ἡ Ψυχή μου, καὶ ἔσῃ εὐλογημένος. Ἀπερχομένου δὲ ἐκείνου ἐπὶ τὸ ὕδωρ, ὁ ἱερὸς Βαρνάβας, ἢ τάχους εἶχεν, εἰσελθὼν τὸν Ναὸν, ἐνεδύσατο τὴν ἱερατικὴν Στολὴν, καὶ μετὰ δακρύων ἀσπασάμενος τὴν ἱερὰν Εἰκόνα τῆς Θεοτόκου, τὴν μὲν Διαθήκην ἔθετο ἐπὶ τῆς ἱερᾶς Τραπέζης, πλεῖστα ὑπὲρ τῶν Ἀδελφῶν προσευξάμενος, αὐτὸς δὲ ἐξελθὼν, εἰσέδυ τὸ ὑπὸ τοῦ βήματος Κοιμητήριον, καὶ ἀφῆκεν ἐν αὐτῷ εἰς χεῖρας Θεοῦ τὸ ἱερὸν



(1) Αὕτη ἐστὶ παράφρασις τῆς Διαθήκης. καὶ εἰ βούλει, ὅρα τὴν αὐτολεξεὶ ἀπαράλλακτον ἰδιόχειρον Διαθήκην τοῦ Ὁσίου Βαρνάβα, ὄπισθεν ἐν τῷ τέλει τῆς Ἀκολουθίας τῶν Ὁσίων.

(2) Ἤτοι, Αὐγούστου, 18. Δεκάτῃ ὀγδόῃ.

(3) Κατὰ τὸ, 5920, τοῦτ᾽ ἐστι, Πεντακισχιλιοστὸν Ἐννεακοσιοστὸν Εἰκοστὸν ἔτος, ἀπὸ κτίσεως Κόσμου. ἀπὸ Χριστοῦ, 412. τοῦτ᾽ ἐστι Τετρακοσιοστὸν Δωδέκατον.

(4) Νικόδημος ὁ ἐκ τῆς Κολχίδος, τὸν ἀριθμὸν τούτων τῶν Στοιχείων ϡΚ. καὶ τὴν χρονολογίαν τοῦ Ὁσίου Κυριακοῦ τοῦ Ἀναχωρητοῦ (ὅς τις ἦν ἐπὶ Βασιλέως Θεοδοσίου τοῦ Μεγάλου, καὶ οὐχὶ ἐπὶ Λέοντος Μακέλου, ὡς ἀνωτέρω εἴπαμεν, Φυλ. 8. Ἀριθ. 5. καὶ, Φυλ. 10. Ἀριθ. 3.) μὴ εἰδὼς ἀπεριέργως οὕτω γράφει, ,ϛιγ'. ἤτοι, 6013. καὶ οὐκ ἀληθεύει. ὅρα Φυλ. 24. ὄπισθεν. καὶ Ἱστορ. Τραπεζ.

§. Σημείωσ. ὅτι ἐν Βίβλῳ Χριστιανικῇ Διδασκαλίᾳ Ῥωμαιοτουρκικῇ, ἐν Βουκουρεστίῳ τῆς Οὐγγροβλαχίας ἐκτετυπωμένῃ, κατὰ τὸ, ,αψξη', οὐκ ὀρθῶς ἐστιν ἡ χρονολογία. Καὶ ἐν τῇ Ἀκολουθίᾳ τῶν Ὁσίων ἐκτετυπωμένῃ ἐν Βουκουρεστ κατὰ τὸ, ,αψξθ'.

(5) Ἔξω τῆς Μονῆς ἐστὶν αὕτη ἡ θαυμαστὴ Πηγὴ ἀπέχουσα ἓν τέταρτον τῆς ὥρας, πλαγίως ἐν ἄλσεσι, πλησίον τοῦ Ναοῦ τῆς Ἁγίας Βαρβάρας.

ἱερὸν ἑαυτοῦ Πνεῦμα, ἔνθα ἦχος καθαρὸς ἑορταζόντων, φωνὴ ἀφράστου ἀγαλλιάσεως,
ἠστινοσοῦν νόσου οὐδὲ αἴσθησιν ὅλως λαβών.

Ὁ δὲ Σωφρόνιος δρομαῖος ἐπανελθών, (προὐμαντεύσατο γὰρ ἐκ τῆς Διαθήκης τὰ
τῆς δραματουργίας) ἐπεὶ ἀνερευνήσας ἁπανταχοῦ τὸ Σπήλαιον, ἔσχατον ἐν τῷ Κοι-
μητηρίῳ εὕροι αὐτὸν, παρὰ προσδοκίαν, τὸν τοῖς Μακαρίοις πρέποντα ὕπνον εὐσχημό-
νως ὑπνώσαντα, ὃν καὶ ἐκ προγνώσεως προανεφώνησε, περιχυθεὶς τῷ νεκρῷ, μετ' οἰ-
μωγῆς καὶ δακρύων τοιαῦτα ἀπωδύρετο. Οἴχῃ δὴ, Πάτερ, ὁ τῆς ἐμῆς Σωτηρίας
ὁδηγὸς, οὕτως ἀθρόως καταλιπὼν ἐμέ; σκηνῆτις ἄρ' ἦν, ὡς ἔοικεν, ἡ τοῦ ὕδατος δίψα,
πλάσσουσά μοι κόπον ἐπὶ πρόσταγμα, ἵνα μὴ παρὼν, τῶν σῶν ἀπολαύσω πλουτο-
ποιῶν εὐχῶν, διψήσαντος οὐ δίψαν ὕδατος, ἀλλὰ τὴν εἰς Χριστὸν ἀνάλυσιν. καὶ προκυ-
λινδούμενος τῶν τοῦ Ἁγίου ποδῶν, κατεβόα αὐτοῦ, λέγων, παράλαβε, δὴ κἀμὲ Πάτερ,
ὡς ἐπηγγείλω μοι. ἐν δὲ τούτοις ἔνθους ὥσπερ γενόμενος, ἔδραμεν ἀναστὰς εἰς τὸν Ναὸν,
καὶ ἀσπασάμενος τὴν ἁγίαν Εἰκόνα τῆς Θεοτόκου, ἔλαβε τὴν τοῦ Μακαρίου Πατρὸς Δια-
θήκην, καὶ ὑπέγραψε καὶ αὐτὸς οὕτως ἐν αὐτῇ.

„ Ἀειπάρθενε Θεοτόκε, τοὺς ἐν τῷ θείῳ σου τούτῳ Ναῷ μετὰ πίστεως προσερχομέ-
„ νους Ἀδελφοὺς ἡμῶν ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διαφύλαξον, διδοῦσα αὐτοῖς πάντα τὰ πρὸς
„ Σωτηρίαν αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον διὰ τοῦ ἀγαπητοῦ σου Πατρὸς ἡμῶν Βαρνά-
„ βα. ὑμεῖς δὲ, Ἀδελφοὶ καὶ Πατέρες καὶ Τέκνα ἐν Κυρίῳ ἀγαπητὰ, τὰ διατετυ-
„ πωμένα ἐνταῦθα παρὰ τοῦ κοινοῦ Πατρὸς ἡμῶν Βαρνάβα σπουδαίως φυλάξατε,
„ κατ' ἴχνος αὐτῷ τὸν ἐνόντα τρόπον ἑπόμενοι. καὶ μὴ λυπεῖσθε. ἡ γὰρ Ὑπέραγνος
„ Θεοτόκος οὐ διαλείπει ταῖς πρεσβείαις τοῦ πιστοῦ αὐτῆς θεράποντος καὶ Καθηγητοῦ
„ ἡμῶν διαφυλάττουσα καὶ σκέπουσα ὑμᾶς, ὥστε ἀξίους παραστῆναι ἐν τῇ μελλούσῃ ἡμέρᾳ
„ τῆς κρίσεως ἐκ δεξιῶν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. οὗ ἡ Χάρις
„ καὶ τὸ ἄπειρον Ἔλεος εἴη μετὰ πάντων ὑμῶν. Ἀμήν.

Γράψας δὲ ταῦτα, τὸν μὲν χάρτην ἔθετο πάλιν ἐπὶ τῆς ἱερᾶς Τραπέζης, αὐτὸς
δὲ περιβαλόμενος ἅπασαν τὴν ἱερατικὴν αὐτοῦ Στολὴν, εἰσῆλθε τὸ Κοιμητήριον, καὶ
σχηματισάμενος κατ' ἔθος, ἐξέλιπε, Κύριε, εἰπὼν εἰς χεῖράς σου παρατίθημι τὸ Πνεῦ-
μά μου. Οὕτω μὲν οὖν καὶ ὁ ἱερὸς Σωφρόνιος ὑπνώσας, προσετέθη πρὸς τὸν Πατέ-
ρα αὐτοῦ.

Οἱ δὲ εἰς διακονίαν ἀποσταλέντες Ἀδελφοὶ, ἐπανελθόντες Ἑσπέρας, ἐπεὶ ἀνιχνεύ-
σαντες ἁπανταχοῦ, οὐδέτερον τῶν Πατέρων εὕροιεν, ἐπλήγησαν μὲν τὴν Ψυχὴν, ᾤοντό
γε μὴν τέως αὐτοὺς ἐν τῇ ὑπερκειμένῃ ἐρήμῳ, ὡς ἔθος, περιπολεύειν. ὡς δὲ κἀκεῖ δορ-
κάδος δίκην πλεῖστα περισκοπήσαντες, τῆς θήρας ὡσαύτως ἀπέτυχον, ἀπωδύροντο
λοιπὸν



λοιπὸν τὴν ἑαυτῶν ὀρφανίαν, ἀνακαλούμενοι τοὺς Φωστῆρας, τοὺς προστάτας, τοὺς φιλο-
στόργους Πατέρας, πρὸς ἀλλήλους διαπορούμενοι, πότερον τῆς μετὰ τῶν ἀπειθῶν τὴν
μετὰ τῶν θηρίων οἴκησιν ἀντηλλάξαντο, ἢ τὴν μετὰ τοῦ Θεοῦ, ἀναλύσαντες εἰς Χριστόν;
ὡς ἴδια τῆς Παραβολῆς ἐκείνης πρῴην ὁ θεῖος Πατὴρ ὑπηνίξατο. ὅθεν μαθόντες πάντα
ἔκ τινος Ἀναγνώστου, καὶ εὑρόντες αὐτοὺς ἐν ᾧ δρομαῖοι εἰσῆλθον Κοιμητηρίῳ, ᾤμωξαν
μὲν, κόψαντες ἑαυτοὺς ἀπαράκλητα, ἐφ' οἷς παρὰ προσδοκίαν ἑώρων. εἰσελθόντες δὲ
μετὰ ταῦτα τὸν Ναὸν, ἐποτνιῶντο πρὸς τὴν Πάναγνον τοῦ Θεοῦ Λόγου Μητέρα ἐπὶ τῷ
γεγονότι, ἔκφρονες οἱονεὶ τῷ πάθει γενόμενοι. καὶ μετὰ τοῦτο λαβόντες τὸν ἐπὶ τῆς ἱε-
ρᾶς Τραπέζης χάρτην, ἣν ὁ λόγος κατηχητικὴν Διαθήκην ἔφθη καλέσας, παρεμυ-
θήσαν μετρίως, ἀναγνόντες τὰ ἐν αὐτῷ. Τὴν μὲν οὖν Κατήχησιν ἔταξαν καθ' ἑκάστην
ἐν τῷ Ὄρθρῳ ὑπαναγινώσκεσθαι εἰς ὑπόμνησιν οὐ μᾶλλον τῶν διατετυπωμένων, ἢ τῶν
διαταξάντων. τοῖς δὲ θείοις Πατράσι τὰ νενομισμένα ἐπιτελέσαντες, μετὰ τὰ τούτων
τεσσαρακοστὰ Προεστῶτα λοιπὸν ἑαυτοῖς ἐκ τῶν Ἀδελφῶν ἕνα κατ' ἐκλογὴν ψηφισάμε-
νοι, προὐχειρίσαντο, δι' ἐπιθέσεως, οἷα εἰκὸς τῶν τοῦ Τραπεζοῦντος Προέδρου χειρῶν τοῦτον
καταστήσαντες, καὶ οὕτω κατὰ τὴν τῶν θείων Πατέρων ὑποτύπωσιν ἐνασκούμενοι, τοῖς ἔμ-
προσθεν ὁσημέραι δίηγον ἐπεκτεινόμενοι. τὸ δὲ πλῆθος τῶν ἁπανταχόθεν συρρεόντων οὐ διέ-
λειπον φέροντες καθ' ἑκάστην, ὡς εἰπεῖν, οὐ μόνον τοὺς οἱῳδήποτε νοσήματι κατεχομένους, ἀλλὰ
καὶ τοὺς ὑπὸ Πνευμάτων ἀκαθάρτων ἐνοχλουμένους. οἱ καὶ παραχρῆμα θεραπευόμενοι ἅπαν-
τες, ὑπέστρεφον οἴκαδε, δοξάζοντες τὸν Θεὸν, καὶ μεγαλύνοντες τὴν Ἀειπάρθενον Θεο-
τόκον.

Ἐν ὅσῳ μὲν ἤνθει τὰ τῶν Ῥωμαίων πράγματα, καὶ τὰ τῆς Σεβασμίας Μονῆς εὐθηνοῦν-
τα ἐτύγχανε, μεταπεσόντος δὲ τοῦ ὀστράκου τοῖς Ῥωμαίοις ἐς ὕστερον, καὶ τὰ τῆς Μο-
νῆς ἀπανθεῖν πως ἀπήρξατο, τῆς τῶν ἐθνῶν συνοχῆς καὶ τοὺς εἰς προσκύνησιν ἐλθεῖν
αἱρουμένους διατειχιζούσης, καὶ τὴν τῶν ἐνασκουμένων πληθὺν μειαγωγούσης, ὥστε προϊόν-
τος τοῦ χρόνου, καὶ ἐς τὸ παντελὲς ἐρημωθῆναι κατὰ τὴν τοῦ ἱεροῦ Βαρνάβα προαγόρευ-
σιν. οἱ γὰρ τὰ πέριξ ποτὲ τῇ τοῦ κωλύσοντος ἐρημίᾳ ληϊζόμενοι Βάρβαροι (1), ὡς καὶ
περὶ τῆς ἐπισήμου ταυτησὶ Μονῆς ἀκούσειαν, ἀνελθόντες ἐπὶ τὸ ὄρος, διήρπασαν μὲν
τὰ ἐν τῇ Μονῇ, τῶν δὲ Μοναχῶν ὅσους συνέλαβον, αἰκίζοντες ἐπὶ ἀναδείξει κεκρυμμέ-
νου δῆθεν θησαυροῦ, τέλος ἀπέκτειναν. εἶθ' οἱ μὲν, τὴν Ἁγίαν Εἰκόνα ἐπὶ τοῦ ὄρους ἀγα-
γόντες, συντρίψαι ταύτην διενοοῦντο, ἐφ' ᾧ περιελεῖν τὰ ἐπ' αὐτῆς κόσμια. εἷς δέ τις
τῶν τριῶν τούτων διακωλύειν ἐπειρᾶτο, λέγων, Φεισώμεθα, ἀδελφοὶ, τῆς κεκοσμη-
μένης ταύτης Εἰκόνος, ἵνα ἀποδῶμεν αὐτὴν πλείονος τιμῆς τοῖς Χριστιανοῖς. οἱ δὲ θῆρες
ἐκεῖ-

(1) Ξιφιλ. Ἀθανάσ. Ἀκάκ. Νικόδ.

ἐκεῖνοι οὐκ ἐδυσωποῦντο, ἀλλὰ θέμενοι πρηνῆ κατὰ γῆς, ἐπήνεγκαν μὲν τὴν ἀξίνην, ἐκ
τῶν ὄπισθεν παίσαντες, ἅμα δὲ φλογὸς, ὢ τοῦ θαύματος, ἐξελθούσης ἐκ τῆς Εἰκόνος,
κατεφλέχθησαν οἵ τε δύω τολμητίαι ἐκεῖνοι, τοῦ τρίτου διασωθέντος, καὶ τὸ ὄρος τοσοῦ-
τον, ὥστε τὸ ποτὲ δασὺ καὶ κατάσκιον, μηδὲ χλωροῦ χόρτου ἔκτοτε εὐμοιρεῖν, ἀμαυρω-
θὲν ὡρῶν τριῶν που διάστημα. καὶ ἐξ ἐκείνου ὁ τόπος ἐκεῖνος ἐπωνομάσθη Κεκαυμένα (1).
οἱ δὲ ἄλλοι τὴν τοῦ θείου Βαρνάβα ἱερὰν Κάραν μετὰ τῆς ἐχούσης αὐτὴν ἀργυρᾶς Θήκης
ἁρπάσαντες, τὴν μὲν Θήκην παρακατέσχον, τὴν δὲ Κάραν τῷ παραῤῥέοντι Πυξίτῃ
Ποταμῷ ἐναποῤῥίψαντες, ἀπῆλθον. τῶν δὲ Πατέρων οἱ φυγῇ διασωθέντες, ἐπανελ-
Ἀκάκ. Σαββ. θόντες νυκτὸς, ἤλγουν μὲν δεινοπαθοῦντες ἐπὶ τῇ τῶν Σεβασμίων μάλιστα διαρπαγῇ,
Κεφ. 12. μὴ ἔχοντες δὲ, ὅ,τι καὶ πράξωσιν, ἀναπεσόντες ἐν λύπῃ ἐκοιμήθησαν. Πρωΐας δὲ τὸν
Ναὸν εἰσελθόντες κατ᾿ ἔθος, ὁρῶσιν, ὢ τοῦ θαύματος, τὴν Ἁγίαν Εἰκόνα ἐν τῷ ἰδίῳ
ἀνεστηλωμένην τόπῳ μεθ᾿ ὧν εἶχε κοσμίων. κατανοοῦντες δὲ αὐτὴν τὰ νῶτα ἀξινόπλη-
κτον, ἐξίσταντο μὲν, διαπορούμενοι ἐπὶ τῇ τομῇ, μαθόντες δὲ παρὰ τοῦ ἐκ τῆς φλογὸς
διασωθέντος ἐκείνου τὰ γεγενημένα, ἐδόξασαν τὸν Θεὸν καὶ τὴν Ὑπεραγίαν Θεοτόκον,
Ψαλ. κϛ΄. 6. τὴν λύπην εἰς εὐφροσύνην μεταμείψαντες, ὡς πληρωθῆναι, καὶ ἐπ᾿ αὐτῶν τὸ, Ἑσπέ-
» ρας αὐλισθήσεται κλαυθμὸς, καὶ εἰς τὸ Πρωῒ ἀγαλλίασις.

Καὶ γὰρ καὶ τὴν ἱερὰν τοῦ θείου Βαρνάβα Κάραν παρὰ πόδας ἀνεκτήσαντο. ὁ δὲ
τῆς εὑρέσεως τρόπος παράδοξος. νυκτὸς γὰρ πολλάκις ὁρῶντες ἐν ταῖς ἀντιπέραν
ὄχθαις τοῦ ποταμοῦ (2) Στύλον πυρὸς οὐρανομήκη, διηποροῦντο μὲν ὅ,τι ποτ᾿ ἂν ἦ τὸ
ὅραμα, ὄκνουν ὅμως διαβάντες ἀκριβώσασθαι. Βουκόλος δέ τις τῶν τῆς Μονῆς, παρα-
βαλὼν τῷ ποταμῷ ποτίσαι τοὺς βοῦς, ἀνήγγειλεν αὐτοῖς ἐπανελθὼν, ὡς ἑωράκει Κά-
ραν τινὰ ἐν ῥήγματι πέτρας εὐωδιάζουσαν, οἱ δὲ, οὐθὲν, ἀλλ᾿ ἢ τοῦτο βούλεσθαι τὰ
τοῦ πυρίνου Στύλου συμπεράναντες, ἀνείλοντό τε λαμπαδοῦχοι καὶ ὑμνολόγοι κατελ-
θόντες, καὶ τῇ Μονῇ ἐναποθέμενοι, ηὐχαρίστησαν τῷ Θεῷ καὶ τῇ Θεομήτορι. καὶ
οὕτως ἐν τῇ Μονῇ πληθυνόμενοι διετέλουν οἱ Ἀδελφοὶ, μέχρις οὗ ὑπὸ τῶν λῃστευόντων Ἀ-
γαρηνῶν πάλιν, τοὺς μὲν, αἰκιζόντων, τοὺς δὲ, καὶ ἀναιρούντων, εἰς τοσαύτην ἐρημίαν
συγχωρήσει Θεοῦ τὰ τῆς Μονῆς ἤλασεν, ὡς μηδὲ πιστεύεσθαι ὅλως σχεδὸν, εἰ ἦν ποτε
Μοναχῶν Ἀσκητήριον.

(1) Καμμένα τόπος, πρὸς τὸ ὑψηλότερον μέρος τοῦ Μελᾶ ὄρους, ἀπέχων τῆς Μονῆς, ὥρας, 2.

(2) Ἐκεῖ πλησίον, ἐστὶ τὸ Παρακλήσιον τοῦ Μεγάλου Βασιλείου, ἐπὶ πέτραν, ἀπέχον τῆς Μονῆς, ὡς μίαν ὥραν. Ξιφιλ. Ἀθανάσ. Ἀκάκ.

Τὰ κατὰ



## (Τὰ κατὰ τὸν Ὅσιον Χριστοφόρον.)

Ἀλλ᾿ ἡ Πανάχραντος Θεοτόκος μὴ ἀνασχομένη τὸν ἑαυτῆς Οἶκον μέχρι παντὸς ἠρημω- γ΄. Βασ. ιθ΄. 10.
μένον φαίνεσθαι, ἀνακαινισθῆναί τε τοῦτον καὶ εἰς τὸ κρεῖττον ἐπανελθεῖν ηὐδόκησεν, Ῥωμ. ι΄, 10.
ἔνθεν μὲν, φιλαρέτους ἄνδρας ἐν τῇ Μονῇ κατοικίσασα, ἔνθεν δὲ, καὶ αὐτοὺς τοὺς Ἐθνι- καὶ α΄, 2.
κοὺς Βασιλεῖς δωροφόρους δι᾿ ὧν ἐπεδαψιλεύετο σφίσι χαρίτων ἕλκουσα.
Χριστοφόρον γάρ τινα ἄνδρα ἐκ κώμης, ἧς Γαζαρῆ τοὔνομα (1), ἀγροῖκον μὲν τὴν
τύχην, τῷ Ἐλισσαιὲ δὲ ὁμότροπον, καὶ σκεῦος ἐκλογῆς ὄντα τῷ εἰδότι πάντα πρὶν
γενέσεως αὐτῶν. ἀφ᾿ ἧπερ ἠροτρία γεωργίου ἐν τῇ Μονῇ μεταστήσασα, ἀνοικιστὴν αὐτῆς
καὶ γεωργὸν καὶ Προστάτην ἀνέδειξεν, ἐπὶ τῆς Βασιλείας Κώνστα, Ἔκγονος Ἡρακλείου (2),
ὥστε πληθυνθῆναι πάλιν δι᾿ αὐτοῦ τὰ σπουδαῖα τῆς ἀρετῆς γεννήματα. Ἀροτριῶντι
γοῦν αὐτῷ ἐν βουσὶν, ἐπιστᾶσα ἐν ὑπερλάμπρῳ φωτοφανίᾳ, προσεφώνησε, » Τέκνον, εἰ-
» ποῦσα, Χριστοφόρε, ἀνάστα ἐν τάχει καὶ στῆθι ἐπὶ τοὺς πόδας σου. (ἦν γὰρ πεσὼν ἐπὶ τῆς
γῆς ἔντρομος, πληγεὶς τὰς ὄψεις ἐκ τῆς περιαστραψάσης αὐτὸν ἀνυπερβλήτου λαμ-
πρότητος.) καὶ λαβομένη τῆς χειρὸς αὐτοῦ, ἀνώρθωσέ τε αὐτὸν, καὶ τοῦ φόβου ἀπαλ-
λάξασα, ἐθάῤῥυνε, διὰ τῆς ἀφῆς ἐνισχύσασα. καί φησι, » Σύνες ὅπερ σοι λέγω, Χρι-
» στοφόρε, θέμενος ἐν καρδίᾳ σου τὰ παρ᾿ ἐμοῦ σοι λεγόμενα, καὶ ἐπίγνωθι ἥτις ἐστὶν ἡ
» λαλοῦσά σοι. πάντως Χριστιανὸς εἶ; καὶ ὁμολογεῖς τὸν Χριστὸν, καὶ τὴν Πανάχραντον
» αὐτοῦ Μητέρα; ὁ δὲ καὶ πάνυ φησὶ, Δέσποινά μου, ὁμολογῶ καὶ προσκυνῶ τὸν Χριστὸν,
» καὶ σὲ τὴν Κυρίαν Θεοτόκον. ἡ δὲ πάλιν, » Ἴσθι φησὶν, ἀφωρισμένος ὢν ἐμοὶ ἀπὸ γενέ-
» σεως, ὡς καὶ ἡ ἐπωνυμία σου μαρτυρεῖ. Χριστοφόρος γὰρ ἀκούεις, ὡς τὸν Χριστὸν ἐνδε-
» δυμένος. τοῦτο δ᾿ αὐτό σοι βούλεται καὶ ὁ τῆς δεξιᾶς σου χειρὸς ἕκτος δάκτυλος, ἐμοὶ
» εἶναί σε φημι ἀνάθημα. Βούλομαί σε τοιγαροῦν καταλείψαντα τὸν ἀγρώτην τοῦτον
» Βίον, γενέσθαι ἐμὸν, καὶ παραγενόμενον ἐν τῷ τοῦ Μελᾶ ὄρει, ἀνοικίσαι τὸ ἐμὸν ἐκεῖ
» Ἀνάκτορον. καταλείψας τοίνυν ἐν τῷ Ἀγρῷ τοὺς ἀροτῆρας βόας σὺν τῷ ἀρότρῳ, μὴ
» στραφῇς εἰς τὰ ἴδια, ἀλλὰ τὴν Τραπεζοῦντα τὸ τάχος καταλαβὼν, τῷ ταύτης
» Προέδρῳ ἐμφάνισον σεαυτὸν, καὶ γνωρίσας αὐτῷ πάντα τὰ κελευσθέντα σοι, ἀξίω-
» σον αὐτὸν καταστῆσαί σε Πρεσβύτερον. ὁ δὲ, ὡς ἀκούσοι τὰ παράδοξα ταῦτα, μόλις
ἀνοίξας τὸ στόμα αὐτοῦ, (ἐξηπορεῖτο καὶ γὰρ τά τε ἄλλα, καὶ ὡς ἀγράμματος) α΄. Σύνοδ. Οἰκυμ. Καν. 6.
ἀποκρίνεται πρὸς τὴν Ὑπέραγνον, καὶ πῶς οἷόν τέ φησι, γενέσθαι τοῦτο, Κυρία μου;
ἐμοῦ πρὸς τῇ ἀναξιότητι μηδὲ γράμματα εἰδότος τοσύνολον; καὶ ἡ Κυρία πρὸς αὐτὸν,
» Μὴ

(1) Αὕτη ἡ Χώρα ἦν ποτὲ τῆς Μονῆς, ἀπέχουσα αὐτῆς ὥρας ἑπτά. νῦν δὲ οἱ ἐγκάτοικοι πλείονες Τοῦρκοι. Νικόδ.

(2) Περὶ τὸ, 6152, τοῦτ᾿ ἔστι, Ἑξακισχιλιοστὸν Ἑκατοστὸν Πεντηκοστὸν Δεύτερον, ἔτος ἀπὸ Ἀδὰμ· ἀπὸ δὲ Χριστοῦ, 644. τοῦτ᾿ ἔστι, Ἑξακοσιοστὸν Τεσσαρακοστὸν Τέταρτον. Ξιφιλ. Ἀθαν. Νικόδ. Ἀκάκ.

Ἰωάν. ιδ'. 12. τοῦτο κατακοσμήσασα. ἀλλὰ τὸ μὲν πλῆθος, ὧν καθ' ἑκάστην ἐνεργεῖ παραδόξων ἡ Κυ-
ρία Θεοτόκος τοῖς μετὰ πίστεως προσερχομένοις τῇ σεβασμίᾳ αὐτῆς Εἰκόνι καὶ τοῖς Λει-
Γρηγορ. Ναζ. ψάνοις τῶν αὐτῆς θεραπόντων, ἐνοχλουμένους, χωλούς, τυφλούς, καὶ πᾶν ἁπλῶς πά-
Λόγ. στηλιτ. α'. θος καὶ νόσημα θεραπεύουσα, τοῖς καὶ ὁρῶσι καὶ πεπονθόσι διηγεῖσθαι τρανώτερον πα-
ρίημι, αὐτὸς δὲ τὰ τῶν Πατέρων συνεπτυγμένως ἐπαναλαβών, αὐτοῦ που καταπαύσω
τὴν περὶ αὐτῶν Ἱστορίαν, τὰ τῶν Βασιλέων, καὶ ὅσοις ἐκεῖνοι κατὰ καιροὺς τὴν εἰρημένην
σεβασμίαν Μονὴν ἐτίμησαν, εἰς τὸ ἐφεξῆς ἀποταμιευσάμενος.

Τούτων τοίνυν τῶν Τρισολβίων Πατέρων, καὶ τῆς ἀρετῆς ἀκριβεστάτων Κανόνων, Βαρ-
νάβας μὲν καὶ Σωφρόνιος ἐξ Ἀθηνῶν λάμψαντες, ἀπετάξαντο μὲν ἅπασι τοῖς φθει-
ρομένοις τοῦ βίου τούτου τερπνοῖς, ἣν εἶχον περιουσίαν, πένησι πρότερον διανειμάμενοι. πά-
σης δὲ τῆς πρὸς τοὺς ὁτιοῦν σφίσι προσήκοντας προσπαθείας ἀνώτεροι γεγονότες, ἀπα-
νέστησαν μὲν τῆς ἐνεγκαμένης κατὰ χρηματισμὸν τῆς Θεοτόκου, τὸν μονήρη δ' ὑπελθόν-
τες βίον, τὸ τοῦ Μελᾶ ὄρος, ἀμεταστρεπτὶ διοδεύοντες, ὁδηγίᾳ τῆς Θεοτόκου κατέλα-
βον, πλεῖστα καθ' ὁδὸν καὶ δυσχερῆ παθόντες, καὶ παράδοξα δράσαντες, καὶ σπου-
δαῖα ἀναλεξάμενοι. ὁπόσα δὲ καὶ ἡλίκα ἐν τῷ ὄρει γενόμενοι, ἔστησαν τρόπαια, κατὰ
παθῶν ὀλεθρίων καὶ τῶν τῆς πονηρίας Πνευμάτων ἐν ἐπιτεταμμέναις νηστείαις, καὶ ἀ-
γρύπνοις πολλάκις δὲ καὶ παννυχίοις προσευχαῖς καὶ χαμευνίαις ἀνενδότοις, καὶ δα-
κρύων ἀενάοις πηγαῖς νύκτωρ τε καὶ μεθ' ἡμέραν ἀγωνιζόμενοι, δυσχερὲς μὲν εἰπεῖν,
α'. Βασ. β'. 30. ῥᾷστον ὅμως ξυμβαλεῖν, ἐξ ὧν αὐτοὺς ὁ τῆς δόξης Κύριος καὶ περιόντας, λαμπρῶς, καὶ
μεταστάντας, λαμπρότερον ἐδόξασε, τότε μέν, καὶ κεχρηματικῶς αὐτοῖς πολλάκις διὰ
Ἡσαΐ. λζ'. 35. τῆς Ὑπερενδόξου Θεοτόκου, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσας, νῦν δὲ τὰ Λείψανα αὐ-
καὶ λη'. 6. τῶν τοσαύτης Πνευματικῆς εὐωδίας καὶ χάριτος ἀναπλήσας, ὥστε τῶν μετὰ πίστεως
προσερχομένων τοὺς μέν, ἐκ τῆς σεβασμίας Εἰκόνος τῆς Θεοτόκου, τῆς ὡς εἴρηται Ἀθη-
ναίας, τοὺς δέ, ἐκ τῆς ἐκείνων Κόνεως, καὶ ἄλλους, ἑκατέρωθεν τὰ σφῶν αὐτῶν σωτη-
ριώδη λαμβάνειν αἰτήματα.

Ὁ δὲ χρόνῳ μὲν ὕστερος ἐκείνων, τῇ ἀρετῇ δὲ ἐφάμιλλος ἐκείνοις ἱερὸς Χριστοφόρος,
καὶ τῷ Ἐλισσαιὲ ὁμότροπος, ἀγροῖκος μὲν ἦν τὴν τύχην, ἄπλαστος δ' ὢν τὸ ἦθος,
ἀφ' οὗ ἠροτρία γεωργίου. γεωργὸς οὗ ἡ Ὑπεραγία Θεοτόκος ἐφύτευσε πνευματικοῦ Ἀμ-
πελῶνος ὑπ' αὐτῆς ταύτης καθίσταται, καὶ χρηματισθεὶς ὑπ' αὐτῆς πολλάκις, καὶ ὧν
οὐδ' ὄναρ ποτὲ μεμαθήκοι γραμμάτων τὴν ἀνάγνωσιν σοφισθείς, ὥστε δι' ἧς ἀδιδά-
Ἰω. ζ'. 38. κτως ἔπνει θεοπνεύστου Γραφῆς ποταμοὺς καὶ ἐκ τῆς ἐκείνου κοιλίας πηγάζειν ὕδατος
Δευτερ. ιη'. 15. ζῶντος κατὰ τὸ γεγραμμένον. Οὐ χρὴ δὲ ξενίζεσθαι, εἰ γράμματα μὴ μεμαθηκὼς εἰ-
Ἡσαΐ. ιβ'. 3. δὼς ἱστορεῖται μετὰ τὴν ψήφῳ Θεοῦ γενομένην ἐπ' αὐτῷ χειροτονίαν. τῶν γὰρ ἀγροίκων
τοῖς θεοκλήτοις ἡ χειροτονία μεταστρέφει καρδίαν ἄλλην, σοφίζουσα αὐτούς, ὥστε οὐ μό-

νον



νον ἃ οὐ μεμαθήκασι γράμματα εἰδέναι, ἀλλὰ τὸ καὶ μεῖζον εἰς λόγον θαύματος, καὶ
προφητεύειν (1).

Τούτους τοιγαροῦν καὶ ἡμεῖς, Ἀδελφοὶ καὶ Πατέρες, τοὺς οὐρανίους Ἀνθρώπους, α'. Βασ. ι'. 9
καὶ ἐπιγείους Ἀγγέλους τῆς μοναδικῆς πολιτείας, ἀκριβῆ κανόνα ἐνστησάμενοι, πρὸς τὰ
ἐκείνων τὰ καθ' αὐτοὺς τὸν ἐνόντα τρόπον ἀπευθύνειν σπουδάζωμεν, ἔχοντες ἔνθεν μέν,
τὴν Ὑπερύμνητον Δέσποιναν Θεοτόκον ὁδηγόν, ἔνθεν δέ, τοὺς ὁσίους Πατέρας πρέσβεις τε
καὶ συλλήπτορας, ἵνα ταῖς ἑκατέρων πρεσβείαις καὶ τῆς τῶν Οὐρανῶν Βασιλείας ἀξιω-
θῶμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Τέως δ' οὖν διαναστάντες εὐχαριστήρια τῇ πανυμνήτῳ Θεοτόκῳ διὰ βραχέων προσοί-
σωμεν λέγοντες. Τίς λαλήσοι τὰς δυναστείας σου, Δέσποινα; ἀκουστὰς ποιήσοι πάσας
τὰς αἰνέσεις σου, τὰ θαυμάσιά σου διηγούμενος; σὺ μὲν γὰρ ὡς φιλόστοργος Μήτηρ οὐ δια-
λείπεις τὴν ἱεράν σου ταύτην Μονὴν καὶ διασώζουσα τῇ προνοίᾳ, καὶ μεγαλύνουσα τοῖς
θαύμασιν, ἡμεῖς δὲ τούτων ἀντάξιον οὐδὲν ἔχοντες σοι προσενεγκεῖν, εὐχαριστηρίους σοι
φωνὰς ἀναπέμπομεν, κηρύττοντές σου τὰς χάριτας, οὐ κρύπτοντες τὰς εὐεργεσίας,
ᾄδοντές σου τὰ θαυμάσια, τὴν κηδεμονίαν σου μεγαλύνοντες, τὴν εὐσπλαγχνίαν σου δοξο-
λογοῦντες, καὶ δεόμεθά σου, Κυρία, ἵν', ὥσπερ τῶν ἐν τῷ παρελθόντι, οὕτω τοι καὶ τῶν
ἐνισταμένων πειρασμῶν τε καὶ θλίψεων ἀπαλλάττῃς τὴν Ποίμνην σου, καὶ ξύμπαντα τὸν
Λαόν σου, τὰ σκάνδαλα παύουσα, τοὺς ἐπικειμένους πολέμους καὶ κινδύνους διαλύουσα, τὴν
καθ' ἡμῶν κινουμένην ὀργὴν πραΰνουσα, καὶ εἰρήνην σταθερὰν ἡμῖν βραβεύουσα. Ναί, Πο-
λυεύσπλαγχνε Δέσποινα, ἐπιμέτρησον ταῖς ἀπείροις σου πρὸς ἡμᾶς εὐεργεσίαις καὶ ταύ-
την ἡμῖν τὴν χάριν διὰ τῶν σῶν θεραπόντων, Βαρνάβα, Σωφρονίου καὶ Χριστοφόρου,
τῶν Πατέρων ἡμῶν, ἵνα καὶ ἐνταῦθα καὶ μετὰ ταῦτα, τῆς τῶν Οὐρανῶν Βασιλείας
ἀξιωθέντες διὰ Σοῦ, ἀκαταπαύστως καὶ Σὲ τὴν Ὑπερένδοξον Θεοτόκον μεγαλύνωμεν, καὶ
τὸν ἐκ Σοῦ τεχθέντα Κύριον δοξάζωμεν, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί, καὶ τῷ πανα-
γίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώ-
νων. Ἀμήν.

(1) Θεοδώρητος εἰς τὰ Ἄπορα τῆς Γραφῆς, Ἐρωτ. κ'. εἰς τὴν πρώτην τῶν Βασιλειῶν.

Περὶ τοῦ

## Περὶ τοῦ Βασιλέως Ἀλεξίου τοῦ Κομνηνοῦ, ὅπως διασωθεὶς ἐκ τοῦ θαλαττίου κλύδωνος ὑπὸ τῆς Ὑπεραγίας Θεοτόκου, τὸν ἐν τῷ ὄρει Μελᾶ Ναὸν αὐτῆς ἀνεκαίνισε (1).

Περὶ μὲν οὖν τῶν Ὁσίων Πατέρων, ὁποῖοί τινες ἦσαν καὶ τὸ γένος καὶ τὴν ἀρετήν, καὶ ὅθεν ὁρμηθέντες, ὁδηγίᾳ τῆς Θεοτόκου τὸ τοῦ Μελᾶ ὄρος παρῴκησαν, ἀποχρώντως οἶμαι ἐν τοῖς προλαβοῦσιν ἱστόρηται. λοιπὸν δὲ καὶ περὶ τῶν μετὰ ταῦτα Βασιλέων εἰπεῖν, ὅσοι τὸν τῆς Θεοτόκου Ναὸν λαμπρότερον ἀνακαινίσαντες, παντοίοις ἀναθήμασι κατεπλούτισαν, οὐδὲ τῶν Ἐθνικῶν αὐτῶν τῆς βασιλικῆς δωροφορίας ἀπολειφθέντων. Ἰωάννης μὲν οὖν, καὶ ὁ τούτου υἱὸς Ἀλέξιος, καὶ Βασίλειος ὁ ἔκγονος, οἱ Μεγάλοι λέγω, Κομνηνοὶ (2), ἀλληλοδιαδόχως ἐδωρήσαντο τὴν Μονὴν τεσσαράκοντα μὲν Παροίκοις ἐπὶ τῇ τοῦ τείχους φρουρᾷ, ὧν ἑκάστου τὰ ὀνόματα ἔγκειται ἐν οἷς ἐπέδωκαν Χρυσοβούλλοις (3), Χώραις δὲ τέσσαρσι πρὸς ταῖς εἴκοσι μετὰ Βασιλικῆς Ἀναγραφῆς, οὐ μὴν ἀλλὰ καὶ παντοίοις Ἀναθήμασί τε καὶ Κειμηλίοις (4). ὁ δὲ τοῦ Ἰωάννου ἀπόγονος Ἀλέξιος ὁ τρίτος, καὶ ἐπεδαψιλεύσατο τῆς τῶν προγόνων φιλοτιμίας, ἐφ' οἷς αὐτὸν ἡ Θεομήτωρ καὶ θαλαττίου κλύδωνος καὶ τῶν πολεμίων παρὰ προσδοκίαν ἐῤῥύσατο.

Νέῳ γὰρ ἤδη ὄντι, τοῦ Πατρὸς ἄρτι τεθνηκότος, καὶ τοῦ θείου αὐτοῦ Μιχαὴλ, βραχεῖά τις μοῖρα τῆς πατρικῆς κληρουχίας ἐναπελείφθη, τῶν Ἐθνικῶν Ἀγαρηνῶν ἅπαντα μικροῦ δεῖν δηούντων. ὡς γοῦν καὶ τὴν Τραπεζοῦντα αὐτὴν ἄγεσθαι ὑπ' ἐκείνων σχεδὸν καὶ φέρεσθαι ἀκούσοι, ᾗ δυνάμεως εἶχε, διαπόντιος τὴν ἐκεῖσε ἐστείλατο. παραπλέων δὲ ἐν Πλατάνοις (5), μικροῦ καὶ ὑποβρύχιος ἐγεγόνει, τρικυμίᾳ περιπεσὼν, εἰ

μὴ ἡ

(1) Ὅρα καὶ στίχους Ἰαμβικοὺς τοῦ Βασιλέως Ἀλεξίου, οἵτινες μέχρι τοῦ 1650. ἔτους ἦσαν ἔξωθεν ἐπὶ τῆς πύλης τοῦ Ναοῦ. Νικόδ.

» Κομνηνὸς Ἀλέξιος ἐν Χριστῷ σθένων,
» Πιστὸς Βασιλεὺς, Στεῤῥὸς, Ἔνδοξος, Μέγας.
» Ἀεισέβαστος, Εὐσεβὴς, Αὐτοκράτωρ
» Πάσης Ἀνατολῆς τε, καὶ Ἰβηρίας.
» Κτίτωρ πέφυκε τῆς Μονῆς ταύτης νέος.
ΧΤ. ΑΤΞ΄. (1360) ἸΝΔ. ΙΓ΄.

(2) Ὅρα ἀκριβῶς τὴν γενεαλογίαν τῶν Κομνηνῶν ἐν τῇ Ἱστορ. τῆς Τραπεζοῦντος, ἔμπροσθεν.

(3) Ἅτινα πάντα φυλάττονται ἐν τῇ Μονῇ.

(4) Ἀθανάσ. Δαιμονοκατ. καὶ Νικόδημ. Σεβαστὸς Τραπεζούντιος, σημειώμ.

(5) Πλάτανα, πόλις ποτὲ Φαρνακία, καὶ κοινῶς Φαρνάκη ὀνομαζομένη, τὰ νῦν δὲ ἐρίπειον, ἀπέχουσα τῆς Τραπεζοῦντος πρὸς δυσμὰς, μίλια, 50. Μελέτ. γεωγρ. Βιβλ. β΄, κεφ. 14.



μὴ ἡ Θεομήτωρ αὐτῷ ἐβοήθησεν. ἐπικαλουμένου γὰρ τὴν ἐκείνης ἀντίληψιν, ἐποπτάνεται οἱ μικρὸν ὑπνώσαντι Νεᾶνις τις βασιλικῶς καὶ ἐσταλμένη καὶ δορυφορουμένη, καὶ

» Ἰδοὺ φησιν, Ἀλέξιε, ὀνομαστὶ προσφωνήσασα, ἐῤῥυσάμην σε τοῦ θαλαττίου κλύδωνος,
» καὶ εἰς γαλήνιον προσορμιῶ σε λιμένα, καὶ νικητὴν κατ' ἐχθρῶν ἀναδείξω σε. Σὺ δέ
» μοι τὸ ἐμὸν ἐν τῷ ὄρει Μελᾶ Ἀνάκτορον ἐς κάλλος ἀνακαίνισαι, τοῦ μέντοι ὑπὸ τῶν
» ἐμῶν Θεραπόντων αὐτούργοις πόνοις ἀνεγερθέντος Ναοῦ μὴ ἅψῃ, ἀλλὰ τὸ Σπήλαιον εὐ-
» ρύχωρον ποιήσας, περιτειχισμῷ κατοχύρωσον.

καὶ ταῦτα λεγούσης, ἀφυπνισθεὶς ὁ Βασιλεὺς, ὁρᾷ ἑαυτὸν τῷ λιμένι τῆς Τραπεζοῦντος γαληνίως προσορμισθέντα. εὐχαριστήρια οὖν ἀναπέμψας τῇ Θεομήτορι, εἰσῆλθεν ἀποβὰς τοῦ πλοίου εἰς τὴν Πόλιν, ὑπό τε τοῦ Προέδρου Ἀρχιεπισκόπου Θεοδοσίου, καὶ τῶν Ἀρχόντων, καὶ πάντων τῶν Ἐγκρίτων δωροφορούμενος. προσκυνήσας δὲ τὴν Θεοτόκον ἐν τῷ Ναῷ, οὗ τὸ ἐπώνυμον τῆς Χρυσοκεφάλου (1), μετὰ βραχὺ καὶ τὸ τοῦ Μελᾶ ὄρος σὺν τῷ Προέδρῳ τῆς Πόλεως, καὶ τοῖς Ἄρχουσι καταλαμβάνει. ἔνθα δὴ καὶ τὸ τῆς Μονῆς περίπυστον πατήσας δάπεδον, ὁπόσον μὲν πρὸς τὴν Ὑπερύμνητον Δέσποιναν τρέφων ἐξέχεεν ἐγκάρδιον ἔρωτα, ἀνθομολογούμενος καὶ μεγαλύνων ἀκορέστως τὸ δεδοξασμένον αὐτῆς καὶ Σωτήριον Ὄνομα, ἔξεστι ξυμβαλεῖν ἐξ οὗ μετὰ ταῦτα ἐδωρήσατο Χρυσοβούλλου (2), κατασπασάμενος δὲ τὴν αὐτῆς σεβασμίαν Εἰκόνα, ἐχομένως καὶ ἅπερ ἐπέσκηψεν οἱ ἡ Θεοτόκος σπουδαίως ἐπέρανε, τῆς Μονῆς τὰ μὲν πέριξ, τείχεσιν ἐρυμνοῖς καὶ πύργοις ὀχυρωσάμενος, ἐντὸς δὲ ἱκανὰ Κελλία οἰκοδομήσας, καὶ τῇ Μονῇ ἀτέλειαν παντελῆ διὰ Χρυσοβούλλου μνηστευσάμενος κατὰ τὸ ϛωογ΄. ἐπὶ Ἡγουμένου Κυροῦ Γαλακτίωνος, ἀπὸ δὲ Χριστοῦ, ατξε΄. (3).

Ἐπεὶ δὲ ἀκούσοι τὰ πέριξ τοὺς Βαρβάρους λῄζεσθαι, τὴν ἐν πολέμοις ὑπέρμαχον Θεομήτορα ἐπικαλεσάμενος, τοιάδε πρὸς τοὺς περὶ αὐτὸν Ἐπιλέκτους ἐξελθὼν ἔλεξεν (4).

» Ἐμοὶ μὲν φησιν, ὦ Ἄνδρες, οὐ φοβερὸν, οὐδὲ ἀπότολμον, τὴν πανύμνητον Θεό-
» παιδα ἀντ' ὀχυρώματος ἀῤῥαγοῦς καὶ ὅπλων μαχίμων καὶ παντοίας ἀῤῥωγῆς ἀνθρω-
» πίνης εἰς πόλεμον ἔχοντι, κατ' ἐχθρῶν γενέσθαι, καὶ τοῦ Κράτους ἡμῶν τὴν ἰσχὺν δι'
» αὐτῆς μεγαλύνειν, οὐχ ὡς ἐκεῖνοι, ἐν ἅρμασι καὶ ἵπποις, ἀλλ' ἐν ὀνόματι Κυρίου με- Ψαλ. ιθ΄. 7.
» γαλυνόμενον.

Καὶ ταῦτα εἰπὼν κάτεισιν εἰς Τραπεζοῦντα, κἀκεῖ ἀμύθητον ἀριθμῷ πεζὸν καὶ νηίτην στρατὸν συναγείρας, ἔστησεν, ἐμβαλὼν τοῖς Βαρβάροις, τὰ τῆς νίκης τρόπαια.

Οὐ μὴν

(1) Χρυσοκέφαλος, ὅρα ὄπισθεν, Φυλ. 21, Ἀριθ. 2.

(2) Ὅρα ἔμπροσθεν τὸ τοῦ αὐτοῦ Βασιλέως Χρυσόβουλλον. Φυλ. 45.

(3) Κατὰ τὸ, 6873. τοῦτ' ἔστι, Ἑξακισχιλιοστὸν Ὀκτακοσιοστὸν Ἑβδομηκοστὸν τρίτον ἔτος, ἀπὸ Ἀδάμ. ἀπὸ δὲ Χριστοῦ, 1365. τοῦτ' ἔστι, Χιλιοστὸν Τριακοσιοστὸν Ἑξήκοστον πέμπτον. ὅρα ἔμπροσθεν τὸ Βασιλικὸν Χρυσόβουλλον. Φυλ. 52.

(4) Ἀθανάσ. Νικόδημ. Σεβαστὸς Τραπεζ. Σημειώ.

Οὐ μὴν ἀλλὰ κἀπὶ τὴν μεγάλην Ἀρμενίαν εἰς Πέρσας στρατεύσας, τροπαιοῦχος συμμαχίᾳ τῆς Θεομήτορος ἐπανῆλθε, Μέγας ἐξ ἐκείνου Κομνηνὸς Βασιλεὺς καὶ Αὐτοκράτωρ πάσης Ἀνατολῆς, Ἰβήρων (1), καὶ Περατείας ὑπὸ πάντων ἀναγορευόμενος. Ἔκτοτε δὲ εἰρήνην ἀγόντων βαθεῖαν ἐπ' αὐτοῦ τῶν πραγμάτων, καὶ τῆς Ὀρθοδοξίας θαλλούσης, Μοναστήριά τε καὶ εὐαγεῖς Ἐκκλησίαι ὑπ' αὐτοῦ αἱ μὲν, ἀνηγείροντο, αἱ δὲ, ἀνεκαινίζοντο, αἱ δὲ, ἐκοσμοῦντο. ὧν ἐστι καὶ ἡ ἐν Τραπεζοῦντι Θεοσκέπαστος (2) ἐπονομαζομένη Μονὴ τῆς Θεοτόκου, τῶν Μοναζουσῶν, καὶ ὁ περιώνυμος Ναὸς τοῦ μεγαλομάρτυρος Εὐγενείου τοῦ Θαυματουργοῦ. οὐ μὴν ἀλλὰ καὶ οἱ ἐφ' ἑξῆς ὡσαύτως Εὐσεβεῖς Αὐτοκράτορες, Ἐμμανουὴλ (3) φημι, καὶ Ἀνδρόνικος οἱ υἱοὶ αὐτοῦ, μέχρι Δαβὶδ τοῦ ἐσχάτου τῶν Μεγάλων Κομνηνῶν. Καὶ πρὸ τούτων οἱ ἐκ γένους Λασκάρων (4) ἐν Νικομηδείᾳ βασιλεύσαντες, οὐ ταῖς τυχούσαις φιλοτιμίαις τὴν Μονὴν ἐμεγάλυναν. Ταὐτὰ καὶ οἱ Ἐκλαμπρότατοι Εὐσεβεῖς Ἡγεμόνες τῆς Μολδοβλαχίας τε καὶ Οὐγκροβλαχίας, διὰ Χρυσοβούλλων (5).

Τί δέ,

(1) Ἴβηρες, νῦν δὲ Γεωργιανοί, καὶ Γκιουρτζίδες καλοῦνται. ἐπὶ τοῦ Μεγάλου Κωνσταντίνου θεοσεβής τις γυνὴ καὶ αἰχμάλωτος ἐν τῇ Ἰβηρίᾳ εὑρεθεῖσα, διὰ τὴν ἐνάρετον αὐτῆς πολιτείαν, τῇ δυνάμει τῶν Ἰάσεων, ἣν ἔλαβε παρὰ Θεοῦ θεραπεύουσα τὴν ἐκεῖ Βασιλίδα ἀνιάτως πάσχουσαν, εἵλκυσε μὲν αὐτὴν εἰς τὴν Εὐσέβειαν, εἵλκυσε δὲ δι' αὐτῆς καὶ τὸν Ἡγεμόνα τοῦ ἔθνους, καὶ τὸ ἔθνος ὁλόκληρον τῶν Ἰβήρων. ὅρα Μηνὶ Ὀκτωβρ. κζ'., καὶ Δοκίμιον ἱστορ. Φυλ. 105.

§. Ὁμοίως, καὶ ἡ Ἀδελφὴ τοῦ Βασιλέως τῶν Βουλγάρων, αἰχμάλωτος εὑρεθεῖσα ἐν Κωνσταντινουπόλει ἐπὶ Μιχαὴλ Βασιλέως καὶ Θεοδώρας τῆς μητρὸς, καὶ τὰ τῶν Χριστιανῶν καλῶς μυηθεῖσα, εἶτα ὑπὸ τῆς Αὐγούσης ἐλευθερωθεῖσα, ἐδίδαξε τὸν ἴδιον αὐτῆς Ἀδελφόν. καὶ οὕτω κατέβαλεν εἰς τὸ ἑαυτῆς Ἔθνος τὰ πρῶτα τοῦ Χριστιανισμοῦ σπέρματα. περὶ τό, 842, ἔτος. ὅρα Δοκίμιον ἱστορ. Φυλ. 106.

(2) Αὕτη ἡ σεβασμία Μονὴ τῆς Θεοτόκου, Θεοσκέπαστος ὀνομαζομένη, πλησίον τῆς Τραπεζοῦντος, Σκήτη οὖσα πρότερον τῶν Μοναζουσῶν, ὕστερον ἀνεκαινίσθη παρὰ τοῦ αὐτοῦ Αὐτοκράτορος Ἀλεξίου τοῦ μεγάλου Κομνηνοῦ. Ἀθανάσ. Νικόδημ.

(3) Οὗτος ὁ τοῦ Ἀλεξίου υἱὸς Ἐμμανουὴλ Κομνηνὸς Βασιλεὺς Τραπεζοῦντος, ἐκ τοῦ βασιλικοῦ Θησαυροφυλακίου, ἐδωρήσατο τῇ ἱερᾷ Μονῇ τοῦ Σουμελᾶ, τὸ τίμιον Ξύλον τοῦ Ζωοποιοῦ Σταυροῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Μετὰ τοῦτο κατὰ τὰς τῶν Μηνῶν ἑκάστων ἀρχὰς γίνεται Ἁγιασμὸς ἐν τῇ Μονῇ, ἄνευ μόνου τοῦ Σεπτεμβρίου, καὶ τοῦ Ἰαννουαρίου· κατὰ γὰρ τούτους, τοῦ μὲν ἐν τῇ ιδ', τοῦ δὲ ἐν τῇ ε', καὶ ς'. γίνεται. Ὅρα καὶ τοὺς Ἰαμβικοὺς στίχους ἐν τῷ Κιβωτίῳ τοῦ τιμίου Σταυροῦ. Νικόδ.

» Ἐνθάδε κεῖται τὸ τρισόλβιον Ξύλον,
» Ἐν ᾧ ὁ Χριστὸς ἡγίασε τὴν κτίσιν.
» Ὁ Ἐμμανουὴλ τοῦ Ἀλεξίου Γόνος,
» Κομνηνὸς Ἄναξ Εὐσεβὴς Αὐτοκράτωρ
» Ὡς Δῶρον ἁγνὸν τῇ Πανάγνῳ προσφέρει,
» Ἐν τῷδε Ναῷ, Τοῦτο, τοῦ Μελᾶ ὄρους.
Χ Ϋ. ατϙ'. (1390.)

(4) Περὶ τὸ, 1210, ἔτος, ὅτε ἦν ἡ Κωνσταντινούπολις ὑπὸ τῶν Λατίνων.

(5) Πάντων τούτων τῶν Βασιλέων τε, καὶ Αὐθεντῶν Χρυσόβουλλα σώζονται ἐν τῷ Σκευοφυλακίῳ τῆς ἱερᾶς ταύτης Μονῆς, μέχρι τοῦ νῦν, 1775. ἔτους.



Τί δὲ, οἱ τῶν Ὠθωμανῶν Βασιλεῖς; ἆρα ἀπελείφθησαν τῆς ἐπιβαλλούσης σφίσι συνεισφορᾶς; οὐδαμῶς. ὁ πρῶτος γοῦν αὐτῶν Σουλτὰν Σελήμης (1). ὁ τοῦ Σουλτὰν Παγιαζίτη τοῦ δευτέρου, ὁ τῆς Αἰγύπτου φημὶ, κρατήσας, ἔτι τοῦ ἰδίου Πατρὸς τὰ τῆς Βασιλείας Σκῆπτρα κατέχοντος, τὰς διατριβὰς ἦν ἐν Τραπεζοῦντι ποιούμενος. καί ποτε κυνηγετῶν ἐν τῷ τοῦ Μελᾶ ὄρει, ἐπεὶ μάθοι ἐξ οὗ πόρρωθεν ἑωράκει φωτὸς, ὡς εἴη ἐκεῖ Μονὴ, ὀργισθεὶς, ἦ μὴν κατασκάψειν αὐτὴν ἐπηπείλησεν. ἐν ᾧ δὲ τοῦτο τοῖς στρατιώταις ἐπέταξεν, ὢ τῶν θαυμασίων σου Δέσποινα, καταρρῷ ἄφνω πληγεὶς, ἀκίνητος ἦν ὅλως, παρεθεὶς τὸ σῶμα. εἶθ' ὁ μὲν, μικρὸν ἑαυτοῦ μετὰ βραχὺ γενόμενος, κλαίειν ἀπήρξατο. τῶν δέ τις περὶ αὐτὸν Οἰκονόμων προσελθὼν, λύειν ἐπειρᾶτο τὴν ἀθυμίαν, ἀναδιδάσκων αὐτὸν, ὡς εἴη τοῦ Ἰησοῦ Μήτηρ ἡ ἐκεῖ τιμωμένη, δύναμιν ἔχουσα τοὺς μὲν ἀπειθεῖς παιδεύειν, τοὺς δὲ εὐλαβουμένους αὐτὴν καὶ περιστάσεως διασώζειν παντοίας, καὶ πάθους παντὸς ἀπαλλάττειν, ἐν ᾧ ἀποστάζει ἐκεῖ τὸ Σπήλαιον ὑγιασμένῳ Ὕδατι. ὥσπερ κἀμέ φησι, τοῦ Ὕδατος ἐκείνου πιόντα, ἐκ τοῦ θανάτου εἰς τὴν Ζωὴν παρ' ἐλπίδα ἀνεκαλέσατο. (ἦν γὰρ οὗτος ἐσχάτως νοσήσας, ἀπογνωσθεὶς δὲ παρὰ τῶν Ἰατρῶν ὡς ἤκουσε τὰ τῆς Θεοτόκου πρὸς τοὺς παντοίαν νόσον νοσοῦντας θαυμάσια, πιὼν ἐξ οὗ ὁ παρ' αὐτοῦ ἀποσταλεὶς ἐκομίσατο ἐκεῖθεν Ὕδατος, ὑγιὴς ἐγένετο.) ὡς γοῦν ἐμέ φησι, Βασιλεῦ, τὸν ἀπεγνωσμένον, οὕτω καὶ τὸν Κύριόν μου θεραπευθεῖσα, θεραπεύσει, πιόντα τοῦ Ὕδατος.

Ταῦτα ἀκούσας ὁ Βασιλεὺς, εἶπεν, ἐκ βαθέων στενάξας, ἐάν μοι δῷς, ΜΗ͂ΤΕΡ ΜΑΡΙ'Α, τὴν ὑγείαν, καὶ ἐπὶ τὸν Θρόνον τοῦ Πατρός μου καθίσῃς με, ὅσα σου τῇ Μονῇ οἱ πρὸ ἐμοῦ Βασιλεῖς τῶν Ῥωμαίων ἀφωσιώσαντο, κἀγώ σοι ταῦτα ἐπισφραγίσωμαι. καὶ μετὰ ταῦτα πιὼν ἐξ οὗ οἱ κελευσθέντες ἐκόμισαν Ἁγιάσματος, παραυτίκα ὑγίανε. Καθίσας τοίνυν ἐπὶ τοῦ Πατρικοῦ Θρόνου κατὰ τὸ αφιβ'. (2) Κοσμοσωτήριον ἔτος, ἐδωρήσατο καὶ αὐτὸς τὴν Μονὴν Χρυσοβούλλῳ, ἐπικυρώσας ἐν αὐτῷ διὰ τοῦ παρ' αὐτοῖς λεγομένου Χάϊτι Σερὴφ Ἀντιναμὲ τὰ παρὰ τῶν Ῥωμαίων ἀνατεθειμένα οἱ, ὥστε αὐτὴν ἐν ἀτελείᾳ παντελεῖ οὖσαν, οὐ μόνον τῶν εἰρημένων Χωρίων καὶ τῶν ἐν αὐτοῖς Παροίκων δεσπόζειν, ἀλλὰ καὶ Κελλία κτίζειν, καὶ Εὐκτηρίους οἰκοδομεῖν ἐντός τε τῆς Μονῆς, κἀν τοῖς ἰδίοις Ἀγροῖς (3). Οὗτος καὶ τὸν Ναὸν χαλκῷ ἐσκέπασε, καὶ τὰς ἐς δεῦρο ἐν τῷ



Τρέλ-

(1) Δοσίθεος Πατριάρχης Ἱεροσολύμ. Βιβλ. ια'. κεφ. 4. καὶ Νικόδ. Σεβαστὸς Σημ. Γεώργιος Τραπεζ. Σημ.

(2) Κατὰ τὸ, 1512, τοῦτ' ἔστι, Χιλιοστὸν Πεντακοσιοστὸν Δωδέκατον ἔτος, ἀπὸ Χριστοῦ.

(3) Οὗτος ὁ Βασιλεὺς Σουλτὰν Σελήμης κατ' Αἴγυπτον διατρίβων, καὶ τὴν ἐν τῷ Ἄθῳ ἱερὰν Μονὴν τὴν ἐπονομαζομένην τοῦ Ξηροποτάμου ἀνακαινισθῆναί τε πυρποληθεῖσαν ἐπέτρεψε, τῶν ἐν αὐτῇ τιμωμένων μ'. Μαρτύρων κατ' ὄναρ τοῦτο ἐπισκηψάντων αὐτῷ· τε καὶ τοῖς περὶ αὐτὸν

Τρούλλῳ τῆς Ἐκκλησίας ἀπηωρημένας πέντε παρασήμους τῇ ἐκείνου σφραγῖδι Λαμπάδας ἔπεμψε.

Ταῖς αὐταῖς ταύταις Φιλοτιμίαις, καὶ ὁ τότε ἔκγονος Τρίτος Σουλτᾶν Μουράτης, ὁ τοῦ δευτέρου Σουλτᾶν Σελήμη, τὴν Μονὴν κατὰ τὸ αφπϛ΄. (1) ἐδεξιώσατο, ἀνθ᾽ ὧν τοὺς Πέρσας τῇ ἐπικλήσει τῆς Θεοτόκου ἐτροπώσατο. ὃν καὶ τὸν τῆς σκέπης Χαλκὸν εἰς Ἄργυρον μεταβαλεῖν βουληθῆναι λόγος, ἐπισχεθῆναι δὲ, τὴν τῶν λῃστῶν ἐντεῦθεν ἐπήρειαν συνιδόντα, ἀντιστηκῶσαι μέν τοι τῷ Ἀργύρῳ, ἅττα οἱ τοτηνικαῦτα Πατέρες αὐτὸν ἐξαιτήσαντο.

Οὕτω μὲν οὖν καὶ τῶν Ἐθνῶν αὐτῶν οἱ χειροτονητοὶ Βασιλεῖς τῇ τοῦ Φύσει Βασιλέως Μητρὶ δωροφοροῦντες διετέλεσαν, τῇ ταύτης Μονῇ τὰ εἰκότα ξυντελέσαντες. ὁ γὰρ Ἀνδρὸς ἀρετὴν θαυμάζειν εἰθὼς πολέμιος, πολλῷ μᾶλλον θαυμάζειν ἔχει, ἅπερ ἡ Θεομήτορ διὰ τῆς σεβασμίας αὐτῆς Εἰκόνος καθ᾽ ἑκάστην τελεῖ θαυμάσια, οὐ μᾶλλον τοῖς Πιστοῖς, ἢ τοῖς Ἀπίστοις αὐτοῖς, παντὸς πάθους καὶ παντοίας νόσου ξύμπαντας ἁπλῶς ἀπαλλάττουσα τοὺς μετὰ πίστεως πιόντας τοῦ ἐξ ἀνίκμου πέτρας ἀποστάζοντος ἐκείνου Ὕδατος, ὡς μηδὲν ἀποδεῖν τὸ Ὕδωρ τοῦτο τῆς Ζωοδόχου ἐκείνης Πηγῆς εἰς λόγον Χάριτος. ῥᾷον γὰρ ἄν τις τὴν ψάμμον τῆς θαλάσσης, καὶ τὰ ἄστρα τοῦ Οὐρανοῦ ἐξαριθμήσει, ἢ ὅσους ἡ Θεοτόκος ἐν τῇ τοῦ Ὕδατος ἐκείνου πόσει τῶν συνεχόντων αὐτοὺς παθῶν, ὁποῖά τε καὶ ὁποῖοι ποτ᾽ ἂν ὦσι, θεραπεύουσα, ἀπαλλάττει, τοὺς μὲν Πιστοὺς, ἐν ᾗ ἐστήκασι πίστει, ἐντεῦθεν στηρίζουσα, τοὺς δὲ Ἀπίστους, εἰς τὴν τῆς Ἀληθείας ἐπίγνωσιν τόγ᾽ ἐπ᾽ αὐτῇ ἧκον ἕλκουσα. Εἴη τοιγαροῦν αὐτῆς ὑπερευλογημένον τὸ Ὄνομα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

αὐτὸν Μεγιστάνοις, καὶ βασιλικαῖς μεγαλοδωρεαῖς κατεπλούτισεν, ἐπικυρώσας αὐτὰς δι᾽ οὗ ἔδωκε τῇ Μονῇ Χατισεριφίου κατὰ τὸ, αφιζ΄. ἤτοι, 1517. Ὁ αὐτὸς καὶ τὸν ἅγιον Ναὸν τῆς ἐν Ἱερουσαλὴμ Ἀναστάσεως, καὶ τὴν ἁγίαν Βηθλεέμ. Δοσίθεος, Πατριάρχ. Βιβλ. ια΄. Κεφ. 4.

(1) Κατὰ τὸ, 1586, τοῦτ᾽ ἔστι, Χιλιοστὸν Πεντακοσιοστὸν Ὀγδοηκοστὸν Ἕκτον ἔτος ἀπὸ Χριστοῦ. Νικόδημ. Γεωργ. Τραπεζ. Λαζαρ. Σκρούβου Τραπεζ.

Ἶσον



## Ἶσον Ἀπαράλλακτον τοῦ Βασιλικοῦ Χρυσοβούλλου, τοῦ Καθολικοῦ.

Ἐν Ὀνόματι
Τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος.
Ἀμήν.

# ἈΛΕΞΙΟΣ ἘΝ ΧΡΙΣΤΩ͂ ΤΩ͂ ΘΕΩ͂.

Πιστὸς Βασιλεὺς, καὶ Αὐτοκράτωρ πάσης Ἀνατολῆς, Ἰβήρων καὶ Περατείας,
ὁ Μέγας
Κομνηνός.

Πᾶσιν, οἷς τὸ παρὸν ἡμῶν Εὐσεβὲς ἐπιδείκνυται.

## ΣΙΓΙΛΛΙΟΝ (1).

Α΄. Εἰ τεῖχος ἄρα ἑαυτοῖς οἱ πολεμίων ἔφοδον ἐνωτιζόμενοι, διεγείρουσιν ἀπερικλόνητον, καὶ τάφρον σφίσιν ἐς ἀποτροπὴν τῶν ἐναντίων ἐκεῖθεν ὀρύττουσιν.

Β΄. Εἰ ὅπλα ἔνιοι πολεμιστήρια ἐς φυλακὴν σφῶν περιζώννυνται.

Γ΄. Καὶ κατὰ παθῶν τινες ἀλεξιτήρια ἐπιτίθενται Φάρμακα.

Δ΄. Καὶ ἄλλος ἄλλο τὸ βοηθοῦν αὐτῷ ἐκ τῶν ἐνύλων διαχειρίζεται.

Ε΄. Ἀλλ᾽ οὐχ οὕτως ἡ ΒΑΣΙΛΕΙΑ ἡμῶν.

Ϛ΄. Ἀντὶ οὐδενὸς γὰρ ταῦτα λογίζεται, καὶ σχολὴν ἐπὶ τούτοις παντάπασι καταψηφίζεται, φθαρτοῖς οὖσι καὶ ἐπικήροις.

Ζ΄. Ἀντὶ δ᾽ ὀχυρώματος ἀρραγοῦς, καὶ ὅπλων μαχίμων, καὶ Φαρμάκων ἰασίμων, καὶ παντοίας ἀρρωγῆς ἀνθρωπίνης, τὴν Πανύμνητον ἐπικαλεῖται ΘΕΟΠΑΙΔΑ, τὴν τὸν ΛΟΓΟΝ ὑπὲρ λόγον ἀρρήτως ἡμῖν ἑνώσασαν, καὶ τὸ τῆς σαρκὸς γεῶδες ὑψώσασαν, καὶ ἡμῖν τὸν ΘΕΟΝ εὐδιάλλακτον Κριτὴν ἀναδείξασαν.

Η΄. Αὕτη γὰρ καὶ φρούριον τυγχάνει ἀνάλωτον, καὶ τάφρος καὶ πόλις ἀπολιόρκητος, καὶ ὅπλον κατ᾽ ἐχθρῶν πληκτικὸν, κἂν ταῖς ἀσθενείαις ἀνάρρωσις, καὶ ἀπαλλαγὴ παντοίων ἀλγεινῶν τε καὶ συμφορῶν καὶ κινδύνων καὶ περιστάσεων.



Θ΄. Καὶ

---

(1) Σιγίλλια, Χαρτία, Δικαιώματα, καὶ Διπλώματα λέγονται τὰ τῶν Βασιλέων Θεσπίσματα καὶ Χρυσόβουλλα (Σιγίλλια ἔτι καὶ τὰ τῶν Πατριαρχῶν Γράμματα) κατὰ τὴν Ἐξήγησιν Ἰωάννου τοῦ Πρωτονοταρίου τοῦ αὐτοῦ Βασιλέως Ἀλεξίου. Φυλ. 48. Ἀριθμ. 16. ἔμπροσθεν.

Θ'. Καὶ τὸ δὴ θαυμαστὸν, ὅτι καὶ ἐν ταύτῃ τῇ ἐπικήρῳ Ζωῇ ἀναζώωσίς τε καὶ Βοήθεια. κἂν τῇ μονιμωτέρᾳ καὶ μελλούσῃ ἀνάδοχος τῶν Εὐσεβῶν, καὶ Μεσίτρια.

Ι'. Ἧς τὰς δωρεὰς καὶ τὰς ἀντιδόσεις δαψιλεῖς πλουτίσασα ἡ ΒΑΣΙΛΕΙΑ μου, οὐ διαλείπει ἐπαινοῦσα καὶ εὐχαριστοῦσα τὸ ταύτης δεδοξασμένον καὶ Σωτήριον Ὄνομα.

ΙΑ'. Εἰ δὲ καὶ ἀντιμετρεῖν βουληθείημεν ἀνθ' ὧν Αὕτη ἡμῖν ἐπεμέτρησεν, εἴτ' ἐκ στρατείαις κατ' Ἤπειρον ἅμα καὶ Θάλατταν, εἴτε ξυμφοραῖς τε καὶ περιστάσεσι, καὶ λοιπαῖς συναναστροφαῖς, αἷς ὑπέστην, ἀφ' ἧς ἐκ τῆς Βασιλίδος τῶν Πόλεων διεπλώσθην τῶν ὧδε, καὶ τὴν Βασίλειον ταύτην καὶ προπατορικὴν εἴληφεν ἈΡΧΗΝ (1). τί ἂν τις εἴποι, ἢ ἀνταποδοίη, ἢ λόγῳ ξυγγράφειν ἱστορικῷ δυνήσεται, κἂν ὅλην αὐτὴν τὴν καθ' ἡμᾶς ἀνελίξῃ Γραφήν;

ΙΒ'. Τοίνυν καὶ μὴ ἔχουσα ἐς τοσοῦτον ἀνείκαστον πέλαγος τῶν ταύτης θαυμασίων ὁρᾷν, ἢ ἐς τηλίκον οὐράνιον, καὶ ἔναστρον λειμῶνα ἀποσκοπεῖν, δεῖν ἔγω τιμᾷν σιωπῇ, ἢ τὰς δυναστείας αὐτῆς ἀριθμεῖν. μικρὰ δέ τινα ἀφοσιοῦσθαι προθυμεῖται, ἀφ' ὧν ἡ Ὀλβιόδωρος αὕτη ἡμῖν παρέσχε καὶ τεταμίευκεν, εἰδυῖα, ὡς οὐ τῇ ἀξίᾳ τοῦ διδομένου, τῇ δὲ διαθέσει καὶ προθυμίᾳ τοῦ καρποφοροῦντος μετρεῖ Θεὸς τὴν ἐπίδοσιν.

ΙΓ'. Ἐπεὶ δὲ πόθον ἐγκάρδιον κέκτηται ἡ ΒΑΣΙΛΕΙΑ μου ἐς τὴν Πανύμνητον ταύτην καὶ Κυριώνυμον ΘΕΟΤΟΚΟΝ, τὴν ἐγκοσμίως μὲν καὶ ὑπερκοσμίως ἐξυμνουμένην, ἐν δὲ τῷ τοῦ ΜΕΛΑ Ὄρει ἐξόχως σεμνυνομένην, ἣν πολλάκις καὶ διαπύρως ἀνιοῦσα προσεκύνησε τὴν ταύτης Ψυχοσώτηρα ἀσπασαμένη ΕἸΚΟΝΑ (2), καὶ τὸ τῆς Μονῆς περίπυστον πατήσασα δάπεδον, καὶ τὴν θέσιν τοῦ τόπου ὡς Ψυχωφελῆ, καὶ ἀξιοθέατον ἐνθύμως ποθήσασα, κατὰ νοῦν ἔσχεν μικράν τινα, ὡς ἂν προσῆκον, ἀντίδοσιν ἐκ προαιρέσεως ποιῆσαι, καὶ τὰ προανατεθέντα ἐπικυρῶσαι, καὶ τοὺς εἰσερχομέ-

(1) Ἦν γὰρ ἐν Κωνσταντινουπόλει παρὰ τῷ Βασιλεῖ Ἀνδρονίκῳ τῷ γέροντι καὶ Πάππῳ αὐτοῦ. μετὰ δὲ τὴν τελευτὴν Μιχαὴλ τοῦ θείου αὐτοῦ Βασιλέως Τραπεζοῦντος, ἐν ταύτῃ αὐτὸς ὁ Ἀλέξιος παραγίνεται. ὅρα ὄπισθεν Φυλ. 40. καὶ Ἱστορ. Τραπεζοῦντ. ἔμπροσθεν.

(2) Τὴν ἁγίαν Εἰκόνα δηλαδὴ τῆς Θεοτόκου τὴν παρὰ τοῦ Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Λουκᾶ ἱστορηθεῖσαν. Φυλ. 17. ὄπισθεν, ἀκριβῶς. Ὅρα καὶ τὴν Ἐξήγησιν τοῦ παρόντος Χρυσοβούλλου παρὰ τοῦ Βασιλικοῦ Πρωτονοταρίου Ἰωάννου, ἐν ἁπλῇ φράσει ἐκδεδομένην ἐν Λειψίᾳ τῆς Σαξωνίας κατὰ τὸ, 1775. καὶ τὰ τῶν τῆς Οὐγκροβλαχίας καὶ Μολδοβλαχίας ὑψηλοτάτων Αὐθεντῶν Χρυσόβουλλα, τὰ ἀπὸ, 1550, μέχρι τῆς σήμερον, 1775, οὕτω βεβαιοῦντα, Φυλ. 55. „Ὥσπερ ἐφ' ἑνὸς ἑκάστου τῶν πρὸ ἡμῶν Ἡγεμόνων, οὕτω τοι καὶ ἐφ' ἡμῶν χορηγῆται ἀπὸ „τῆς Καμάρας τῶν Χοχνῶν, εἴτ' οὖν τῶν Ἁλῶν, κατ' ἔτος Ἔλεος ἀργύρια ἑκατὸν τῇ πρὸς „Τραπεζοῦντα ἐν τῷ Σουμελᾶ ὄρει σεβασμίᾳ Μονῇ τῆς ὑπερυμνήτου Θεοτόκου. ἔνθα, φημὶ, „καὶ τὸ παρὰ τοῦ Εὐαγγελιστοῦ Λουκᾶ Ἱστορηθὲν ἱερὸν αὐτῆς Ἀπεικόνισμα κείμενον, διήγειρεν Ἀλέξιον ἐκεῖνον τὸν ἐν Βασιλεῦσιν ἀοίδιμον Μέγαν Κομνηνὸν, ἀνεγεῖραι ἐκ βάθρων τὸ „ἱερὸν ἐκεῖνο Μοναστήριον, ὡς καὶ ἐκ τοῦ ἰδίου αὐτοῦ Χρυσοβούλλου δῆλον. καὶ τ. λ. Ἔτι καὶ τοὺς Παλαιοὺς καὶ Νέους Ἱστορικοὺς τῆς Μονῆς ταύτης, ἐν τῷ Προοιμίῳ τῆς Βίβλου.



χομένους καὶ ἐπηρεάζοντας ἐν τῇ Παροίκῳ αὐτῆς κατοχῇ, πόῤῥω ἀπελαύνει καὶ ἀποσοβεῖν. καθὰ δὴ καὶ ὁ ἐν αὐτῇ τὴν σήμερον τὴν Προστασίαν ἀνεζωσμένος Τιμιώτατος Καθηγούμενος Κὺρ Γαλακτίων Ἱερομόναχος, μετὰ τῶν περὶ αὐτὸν Ἱερομονάχων καὶ Μονάχων πρεσβείαν πολλάκις πεποίηκεν.

ΙΔ'. Ὅθεν καὶ ἅμα μὲν, διά τε τὸ ταύτης Ὑψηλὸν καὶ μεταίωρον καὶ ὄντως Βασιλικόν τε, καὶ Δεσποινικὸν, καὶ καινότατον ἄκουσμα, ἅμα δὲ καὶ διὰ τὴν ἐπίμονον τῶν τοιούτων Ἀσκητῶν, καὶ εὐλαβῶν Ἀνδρῶν δέησιν, τὸν παρόντα αὐτῆς ἡ ΒΑΣΙΛΕΙΑ μου ἀπολύει Λόγον ΧΡΥΣΟΒΟΥΛΛΟΝ, ὥσπερ τι ἑδραίωμα ὀχυρώτατον, ἢ τεῖχος ἀπερικλόνητον.

ΙΕ'. Ὡς ἂν τῇ ἰσχύϊ τούτου καὶ ἐμφανείᾳ προηγουμένως μὲν, ἡ τοιαύτη Μονὴ ἐλευθέρα τηρηθήσεται, καὶ ἀκαταδούλωτος, αὐτοδέσποτός τε καὶ αὐτεξούσιος, καὶ μήτινι ὑποκειμένη βασιλικῷ λειτουργήματι, ἢ ὑπάρχῃ δεδουλωμένη ὑπό τινος, ἀλλὰ παρὰ τῆς ΒΑΣΙΛΕΙΑΣ μου τηρηθήσεται καὶ διοικηθήσεται κατὰ πᾶσαν αὐτῆς ὑπόθεσιν καὶ διένεξιν· ἔπειτα καὶ ἀδιάσειστον καὶ ἀμεταποίητον σχοίη τὸ κῦρος καὶ τὴν νομὴν, ἐπὶ πᾶσι τοῖς προανατεθειμένοις αὐτῇ γονικοῖς κτήμασι καὶ Παροίκοις παρὰ τῶν Ἀοιδίμων, καὶ Μακαριστῶν Βασιλέων, τῶν γονέων καὶ γεννητόρων τῆς ΒΑΣΙΛΕΙΑΣ μου, τῶν Μεγάλων Κομνηνῶν ἐκείνων. (ἤγουν ἐν τῷ Βάνδῳ (1) Γημωρᾶς κἀν ταῖς στάσεσι (2), τοῦ τε Κοσμᾶ τῶν Ἀλεξάντων, καὶ ἐν ἑτέροις ἀλλαχοῦ, τὰ ὁπωσδήποτε διαφέροντα αὐτῇ γονικὰ κτήματα, εὐλόγῳ αἰτίᾳ, καὶ προφάσει, ἀγοραστικῇ δηλονότι καὶ δωρεαστικῇ παρὰ τοῦ Ἀοιδίμου Πατρός μου Κὺρ Βασιλείου τοῦ Μεγάλου Κομνηνοῦ. Ἐν τῇ στάσει τῶν Μοχλάντων, τὰ Τζαχιανέσια, τὰ Πιτζελέσια, καὶ Κοντητέσια, καὶ τὰ εἰς τὰ πυργοθέσια ἐν τῇ διοκανῇ, Ἀλετζέσια καὶ Βουζικέσια (3), ἀμφότερα παρὰ τοῦ Βασιλέως καὶ Πατρός μου δωρηθέντα. Αὖθις ἐν τῇ στάσει τῶν Μοχλάντων (4) τὴν τοῦ Σωκάνου ἐκείνου γονικείαν, σὺν τῇ τοῦ ἀνεψιοῦ αὐτοῦ Γεωργίου Ἱερέως, ἣν ἀνέθετο ἐν αὐτῷ ἡ ΒΑΣΙΛΕΙΑ μου δωρεαστικῶς, ἐν τῷ χωρίῳ Χαρᾶ (5) τὰ γονικὰ κτήματα, ἅτινα προκατέχει ἡ Μονὴ, καὶ νέμεται διὰ προσταγμάτων Βασιλικῶν, τοῦ τε Ἀοιδίμου Βασιλέως Κὺρ Ἰωάννου τοῦ Μεγάλου Κομνηνοῦ ἐκείνου τοῦ Προπάππου μου, καὶ τῆς Ἀοιδίμου Δεσποίνης τῆς Προμάμμης μου, Κυρίας Εὐδοκίας Παλαιο-

(1) Βάνδον, κοινῶς, Φλάμπουλον, καὶ τουρκιστὶ Σαντζάκιον, τῆς χώρας καλουμένης Γημωρᾶς, οὐ μακρὰν τῆς Τραπεζοῦντος. Ἰωάννης Πρωτονοτάριος ἐν τῇ Ἐξηγήσει.

(2) Στάσεις, Ὅρια, Σύνορα, Τόπος διορισμένος. Ἰωάν. Πρωτονοτ.

(3) Τζαχιανέσια, Πιτζελέσια καὶ Κοντιτέσια, Ἀλιτζέσια καὶ Βουζικέσια, λέγονται τὰ Γονικὰ κτήματα. Ἰωάν. Πρωτονοτ.

(4) Μοχλάντων, τόπος, ὃν καὶ τὴν σήμερον κατέχει ἡ Μονή.

(5) Χαρὰ, χωρίον οὐ μακρὰν ἀπέχον τῆς Μονῆς.

τῆς Πορφυρογεννήτου (1), καὶ τὰ ἐκεῖσε συνήθη Βασιλικά. Ἐν τῷ χωλαιολογίνας ρίῳ Κιντζικερᾶ (2), τὴν ἀγοραστικὴν γονικείαν τοῦ Μεγάλου Δουκὸς Ἰωάννου, ἐκείνου τοῦ Εὐνούχου, ἣν ἀπεχαρίσατο ἡ ΒΑΣΙΛΕΙΑ μου πρὸς τὴν τοιαύτην Μονὴν, ψυχικῆς αὐτῆς Σωτηρίας ἕνεκεν. Ἐν τῷ Βάνδῳ Γημαρᾶς Χαλδογεώργιον τὸν Βίγκην, Βασίλειον τὸν Καρέχην σὺν τῷ Ἀδελφῷ καὶ Ἐξαδέλφῳ. Ἀπεχαρίσθη καὶ ἀπὸ τοῦ Καπαλίου (3) τῆς Δουβερᾶς (4) Ἄσπρα (5) Διακόσια, καὶ πάλιν ἀπ᾽ αὐτοῦ τοῦ Καπαλίου ἕτερα Ἄσπρα Τριακόσια πρὸς τὴν τοῦ Κάστρου φύλαξιν.)

ΙϚʹ. Ἐπεγκελεύεται δὲ ἡ ΒΑΣΙΛΕΙΑ μου διὰ τοῦ παρόντος ΧΡΥΣΟΒΟΥΛΛΟΥ Λόγου αὐτῆς, ἵνα ὅσα μὲν γονικὰ προσήλθοσαν τῇ εἰρημένῃ Μονῇ, Ὑδρομυλικὰ Ἐργαστήρια, Τόποι ἀκίνητοι, Οἰκήματά τε καὶ Ὀσπηταπάκια, καὶ ἄλλοῖα τοιαῦτα Ὑποστατικὰ ἔκ τε Χρυσοβούλλων καὶ λοιπῶν προσταγμάτων Βασιλικῶν, ἔκ τε Φιλοχρίστων Ἀνδρῶν χαριστικῶν τε ἅμα καὶ Λεγατευτικῶν (6) ἐγγράφων, ἢ καὶ ἐξ ἰδίων ἀγοράσεων τε καὶ προσενέξεων αὐτῆς. Ναὶ μὴν καὶ διὰ Ἀναγραφικῶν ἐκ στοιχείων (7), ἐν οἷοις Βάνδεσι καὶ Χωρίοις καὶ Στάσεσι διάκεινται· κἂν καὶ ἐν τῷ παρόντι Χρυσοβούλλῳ τῆς ΒΑΣΙΛΕΙΑΣ μου ῥητῶς οὐκ ἐγράφηταν, ἀλλ᾽ ἐν τῇ δυνάμει Τούτου καὶ ἐμφανείᾳ κατέχῃ καὶ ταῦτα ἡ Μονὴ, ὡς ἴδια αὐτῆς γονικὰ κτήματα, ἀκωλύτως πάντῃ καὶ ἀδιασείστως κατὰ τὰς περιλήψεις τῶν προσόντων αὐτῇ Χαρτίων Δικαιωμάτων καὶ ΣΙΓΙΛΛΙΩΝ ὁμοῦ.

ΙΖʹ. Ἐπεὶ δὲ τὸ χωρίον ἡ Δουβερὰ μετὰ τῶν ἐν αὐτῇ προσκαθημένων Παροίκων (8), καὶ Γονικαρίων, ἀλλὰ δὴ καὶ οἱ εἰς τοῦ Κουσπιδίου (9) εὑρισκόμενοι καὶ πέριξ, ὁμοῦ ἀνατέθησαν εἰς παροικίαν καὶ διακράτησιν ταύτης τῆς Μονῆς τῆς ΣΟΥΜΕΛΑΣ, παρὰ

(1) Ὅρα τὴν ἀκριβῶς Γενεαλογίαν τῶν Κομνηνῶν Βασιλέων ἐν τῷ τέλει τῆς Ἱστορίας Τραπεζοῦντος. ἔμπροσθεν.

(2) Κιντζικερὰ, Χωρίον τῆς Μονῆς.

(3) Καπάλιον, Κατάθεσις, Πλήρωσις, Δόσιμον. Ἰω. Πρωτ.

(4) Δουβερὰ, κοινῶς Λυβερὰ, τὸ μέγιστον χωρίον τῆς Μονῆς, ἧς ἀπέχει ὥρας, 7.

(5) Ἄσπρα ἐκ τοῦ Καπαλίου Διακόσια, καὶ ἕτερα Τριακόσια, ἤτοι καθ᾽ ἑκάστην ἡμέραν, 500, Ἄσπρα. Τὸ δὲ Ἄσπρον τῶν Κομνηνῶν Βασιλέων ἦν ἐξ Ἀργύρου, καὶ διὰ τὴν λευκότητα τοῦ Ἀργύρου, ὀνομάσθη Ἄσπρον, τὸ ἓν πρὸς ἕνα τούρκικον Παρᾶν τὴν σήμερον. ἤγουν τότε ἐλάμβανεν ἡ Μονὴ διὰ τὸ πλῆθος τῶν Μοναχῶν καθ᾽ ἑκάστην, ἀνὰ, 500, Παράδες. Ἰωάν. Πρωτ.

(6) Λεγατευτικῶς, τὰ ἐν ταῖς Διαθήκαις ἐγγράφως ἀφιερώμεθα. Ἰωάν. Πρωτ.

(7) Ἀναγραφικῶν ἐκ στοιχείων, οἷον, Ἀποδεικτικῶν τε καὶ βεβαιωτικῶν ἐμμαρτύρων Γραμμάτων, ἃ τινα καλοῦνται τουρκιστὶ Χοτζέτια. Ἰωάν. Πρωτ.

(8) Πάροικοι, οἱ ἐξ ἀλλοτρίων τόπων, παρὰ τῶν Βασιλέων προσηλωμένοι τῇ Μονῇ.

(9) Κουσπίδιον, Κουσπίδα, καὶ Κοσπίδα, χωρίον τῆς Μονῆς, ἧς ἀπέχει, ὥρας 6.



παρὰ τοῦ ἀειμνήστου Βασιλέως τοῦ Πάππου μου Κὺρ Ἀλεξίου τοῦ Μεγάλου Κομνηνοῦ. ἀκαταζήτητοι πάντῃ καὶ ἐλεύθεροι διὰ Χρυσοβούλλου προσκυνητοῦ τοῦ Κράτους αὐτοῦ· καὶ ἔκτοτε μέχρι τοῦ νῦν, καιρὸν πρὸς καιρὸν ἀδείας δραξάμενοι οἱ ἐνεργοῦντες τὰ τῆς Χώρας Ματζουκάων (1) φορολογήματά τε καὶ λοιπὰ δημοσιακὰ ζητήματα, τὰ τοῦ Χρυσοβούλλου παρ᾽ οὐδὲν θέμενοι, εἰσῆλθον ὥσπερ τινες θῆρες ἄγριοι, καὶ οἱ μὲν, ἐλυμαίνοντο τούτους καὶ ἐπηρέαζον κατά τε κρίσιν καὶ ἀγγαρίαν ἄκαιρον καὶ δυναστικὴν συζήτησιν, οἱ δὲ διαχωρίζοντες τῆς Παροικίας προεξένουν τούτους Ἄρχουσι καὶ Δυνάσταις, καὶ λοιποῖς τισιν, οὐ καλὸν ἡγήθη τοῦτο τῇ ΒΑΣΙΛΕΙΑ μου, οὐδ᾽ εὔλογον.

ΙΗʹ. Διὸ καὶ βουλομένη τοὺς ἁρπαγέντας ἀφωσιῶσαι καὶ αὖθις αὐτῇ, τοῖς δὲ λοιποῖς ἀπαλλαγὴν δοῦναι καὶ ἐλευθερίαν ἐκ τῶν συνεχῶν ἐπηρειῶν καὶ ἐνοχλήσεων, ὧν κατετρύχοντο πρὶν, καὶ ποιεῖν πάντας ὁμοῦ τούς τε καθαρπαγέντας, τούς τε προανατεθέντας, καὶ αὐτοὺς δὴ, οὓς κατὰ καιρὸν ἐδωρήσατο ἡ ΒΑΣΙΛΕΙΑ μου. ἤδη θεσπίζει τὸ Γαλήνιον αὐτῆς ΚΡΑΤΟΣ, καὶ διορίζεται φανερῶς, ὡς ἂν ὑποκέηται καὶ αὖθις τὸ τοιοῦτον Χωρίον ἡ Δουβερὰ, τοῦ Κουσπιδίου, ἡ Κόρους, καὶ ὁ Ἅγιος Κωνσταντῖνος (2) μετὰ τῶν μελλογραφησομένων Παροίκων. καὶ τὰ Ἀλληλέγγυα (3) καὶ προνοιαστικὰ Δίκαια (4) ὥστ᾽ ἀπ᾽ ἀρχῆς, ὑπὸ τῇ ἐπικρατείᾳ καὶ ἐξουσίᾳ καὶ κυριότητι τῆς εἰρημένης Μονῆς τῆς ΣΟΥΜΕΛΑΣ, κατὰ τὸ ἀδιάσειστον καὶ ἀνενόχλητον.

ΙΘʹ. Καὶ ἐπαναστραφήσονται οἱ καθαρπαγέντες ἐς Αὐτὴν, χωρὶς τῆς τυχούσης ἀποκρατήσεως.

Κʹ. Καὶ μήτε τολμήσῃ καὶ πάλιν καθαρπάζειν ἐκ τούτων τινὰ χάριν τῆς οἱασοῦν ἀφορμῆς.

ΚΑʹ. Μηδὲ ἐκ τῶν Εὐεργητῶν καὶ Δουκῶν καὶ Πριμμικηρίων καὶ λοιπῶν ἐν τοῖς μετέπειτα καιροῖς Πρακτόρων καὶ Καπετάνων (5) τῆς Χώρας μου τῶν τὰς ἐνεργείας αὐτῆς ποιου-

(1) Χώρα Ματζουκάων, Ἐπαρχία, Ἐπισκοπὴ, τουρκιστὶ Μαστιλῆκι.

(2) Κόρους, χωρίον πλησίον τοῦ ἁγίου Κωνσταντίνου, ὅς τις Μετόχιόν ἐστι τῆς Μονῆς δι᾽ ἀνάπαυσιν τῶν προσερχομένων Προσκυνητῶν. ἀπέχον αὐτῆς ὥρας, 4.

(3) Ἀλληλέγγυα, Φόρος, δόσιμον, τουρκιστὶ Χαράτζιον, τούτου ἕνεκα, ἀλλήλων ἐγίνοντο ἐγγυηταί. Ἰωάν. Πρωτ.

(4) Προνοιαστικὰ δίκαια, τὰ τουρκιστὶ Σιπαχικὰ, Προνοιάρης γὰρ ὁ Σιπαχὴς λέγεται. Ἰωάν. Πρωτ.

(5) Ἐνεργηταὶ καὶ Δοῦκοι, οἱ Ἡγεμόνες καὶ τουρκιστὶ Πασσάδες. Πριμμικήριοι, οἱ Ἐπίτροποι καὶ τουρκιστὶ Μουσελήμιδες τῶν Πασσάδων. Πράκτορες, οἱ Φορολόγοι, καὶ τουρκιστὶ Χαρατζίδες. Καπετάνοι, οἱ Προεστῶτες καὶ Κεφαλαὶ τῶν Ταγμάτων. Ἰω. Πρωτ.

τῆς ποιουμένων. κἂν βῆμα ποδὸς τολμήσῃ ἐμβαλεῖν ἐντὸς τῶν Δικαίων, καὶ Παροίκων τῆς Μονῆς, χάριν κρίσεως ἢ ἀπαιτήσεως, ἢ ἐνεργείας τινὸς καὶ συζητήσεως, ἀλλὰ δικαίῳ τῆς ΒΑΣΙΛΕΙΑΣ μου παρὰ τοῦ μέρους τῆς Μονῆς ὀφείλουσι κρίνεσθαι καὶ ἀπαιτεῖσθαι καὶ διεξάγεσθαι.

ΚΒʹ. Εἰσὶ δὲ οἱ Πάροικοι οὗτοι. (αʹ) Ἰωάννης ὁ Τζούσης. (βʹ) ὁ Σαλαφέντης. (γʹ) ὁ Ζεέτης. (δʹ) ὁ Ἐλαφᾶς. (ε) ὁ Πιτζάρης. (ϛʹ) ὁ Τζουμᾶς. (ζʹ) ὁ Κώκουρος. (ηʹ) οἱ Ζευλάνται. (θʹ) ὁ Τζερτέβης. (ιʹ) ὁ Λαυδός. (ιαʹ) ὁ Παπᾶ Παῦλος. (ιβʹ) ὁ Κοσσύφης. (ιγʹ) ὁ Μάζηλας. (ιδʹ) ὁ Σκύβρος. (ιεʹ) ὁ Μαβρικίας. (ιϛʹ) ὁ Ῥωμανός. (ιζʹ) ὁ Γουλζάπης. (ιηʹ) ὁ Καραβᾶς. (ιθʹ) ὁ Ποδάρης. (κʹ) ὁ Κόγκας. (καʹ) ὁ Παπᾶ Μάπας. (κβʹ) ὁ Δριμύκαλλος. (κγʹ) ὁ Πελαμίδης. (κδʹ) Θεοδωρῖνος ὁ Χαζούρης. (κεʹ) Κωνσταντῖνος ὁ Χαζούρης. (κϛʹ) Ἰωάννης ὁ Μαΐστωρ. (κζʹ) Παπᾶ Αὐφουξένης ὁ Ζευλινᾶς. (κηʹ) Γεώργιος ὁ Χαλαμᾶνος. (κθʹ) ὁ Χαβραίας. (λʹ) Παπᾶ Κωνσταντῖνος ὁ Κοντός. (λαʹ) ὁ Χαλδογεώργιος. (λβʹ) ὁ Χαζούρης. (λγʹ) ὁ Δόμνος σὺν τῷ Συμεών. (λδʹ) Σάββας ὁ Μακρός. (λεʹ) Ἰωάννης ὁ Ψωμᾶς. (λϛʹ) Κωνσταντῖνος ὁ Μασκούθης. (λζʹ) ὁ Χαλαμᾶνος. (ληʹ) ὁ Χουμαίας. (λθʹ) ἀπὸ τὰ Κούτουλα (1) Κωνσταντῖνος ὁ Θεόπεμπτος. (μʹ) ὡσαύτως καὶ τὴν ἐν τῇ Κομμερᾷ (2) τῆς εἰς Κουταλοῦ οἰκίας τοῦ Χατζῆ ἱερέως, ἤτοι ὁ Χρύσανθος.

ΚΓʹ. Οἵτινες καὶ ἐξκουσευθήσονται (3) ἐκ πάντων τῶν κατὰ Χώραν ἐπερχομένων βασιλικῶν Φορολογημάτων καὶ ἀπαιτήσεων· νῦν τε ὄντων καὶ ἐς ὕστερον ἐπινοηθησομένων μεγάλων τε καὶ μικρῶν, καὶ ἀπ᾽ αὐτῶν δὴ τῶν Δουκικῶν κρίσεων καὶ ἐνεργειῶν καὶ λοιπῶν Πρακτορικῶν καὶ Καπετανικῶν ἐπηρειῶν, καὶ ἀπαιτητικῶν ζητημάτων, καὶ ἀλλοίων τοιούτων διασείσεων· κατὰ τὸ καθόλου τῆς Ἐξκουσίας (4) κεφάλαιον.

ΚΔʹ. Μόνα δὲ, ἵνα τελέσωσιν εἰς τὸ Βεστιάριον (5) τῆς ΒΑΣΙΛΕΙΑΣ μου διὰ δύο τοῦ ἔτους καταβολῶν, ὅσα δῆτα κατετέθησαν καπαλικῶς παρὰ τῶν Ἀρχόντων καὶ Ἐξισωτῶν (6) αὐτῆς, καὶ οὐ πλέον.

ΚΕʹ. Καὶ ἐάν τινες ἐπέκεινα τῶν εἰρημένων Παροίκων ἔλθωσιν ἀλλαχόθεν ἀνεπίγνωστοι τοῦ Βασιλικοῦ Καταστίχου, καὶ προσκαθήσωσιν ἐν τοῖς τόποις τῆς Μονῆς, καὶ αὐτοὶ

(1) Κούκουλα, καὶ

(2) Κομμερὰ, χωρίον τῆς Μονῆς, ἧς ἀπέχουσιν ὥρας, 8.

(3) Ἐξκουσευθήσονται, τουτ᾽ ἔστι, διαμενέτωσαν ἀνυποτελεῖς, ἐλεύθεροι, ἀσύδοτοι, τουρκιστὶ Μουάφιδες. Ἰωάν. Πρωτ.

(4) Ἐξκουσία, ἐλευθερία, ἀσυδοσία.

(5) Βεστιάριον, Ταμεῖον Θησαυροφυλάκιον, τουρκιστὶ Χασνᾶς.

(6) Ἐξισῶται, Ἐπόπται Ἀναγραφεῖς, τουρκιστὶ Ταχιρτζίδες. Ἰω. Πρωτ.



τοὶ τὸν ὅμοιον ἐξκουσευθήσονται τρόπον, καὶ ἐντὸς τοῦ τεταγμένου καταγραφῶσι Καπαλίου.

ΚϚʹ. Ἔτι ἐπεγκελεύεται ἡ ΒΑΣΙΛΕΙΑ μου, ὡς ἂν ὅσοι ἐκ τῶν ἀπηριθμημένων Παροίκων τῆς Μονῆς τῶν εἰς Βασιλικὰ Ἀκρόστιχα προσκαθημένων· ἢ κἂν τοῖς ἰδίοις γονικοῖς γονικαρχικῶς εὑρισκομένων, τύχωσιν ἀποβιῶναι ἀκληρονόμητοι, ἐντεῦθεν τὰ διαφέροντα αὐτοῖς γονικὰ πρὸς τὴν Μονὴν ἐπανέλθωσιν (1) ἄνευ τῆς οἱασοῦν προφάσεως.

ΚΖʹ. Ἐπεὶ δὲ τὸ Κάστρον τὸ εἰς τὸ ἡγιασμένον Ὄρος, καὶ Σπήλαιον τοῦ ΜΕΛΑ, δέεται Φυλάξεως ἱκανῆς διὰ τοὺς ἐχθρωδῶς διακειμένους ἡμῖν Ἀγαρηνούς (2).

ΚΗʹ. Διορίζεται ἡ ΒΑΣΙΛΕΙΑ μου πρὸς τὸν κατὰ καιροὺς Καθηγούμενον, καὶ τοὺς Ἀσκητὰς, ἵνα ἀποτάξωσιν ἐκ τῶν εἰρημένων Παροίκων, οἵους ἔχουσι κρειττοτέρους καὶ εἰδήμονας, ὅπως δι᾽ αὐτῶν ἐπιμελεστάτη καὶ προσεκτικὴ γένηται ἡ τοῦ Κάστρου φύλαξις καὶ συντήρησις.

ΚΘʹ. Καὶ ταῦτα μὲν ἤδη διωρίσατο ἡ ΒΑΣΙΛΕΙΑ μου, ἅτινα πάγια καὶ ἀρραγῆ καὶ ἀπαρασάλευτα τηρηθήσεται παρὰ τῶν Παίδων (3) καὶ Κληρονόμων καὶ Διαδόχων αὐτῆς, καὶ παρὰ πάντων Ἀρχόντων, Κεφαλάδων (4) καὶ Ἐνεργητῶν ὁμοῦ.

Λʹ. Ὅστις δὲ τῶν ἁπάντων βουληθῇ παρασαλεῦσαι ἐκ τούτων ἕως μιᾶς κεραίας καὶ Μόνης, ἢ ἀθετῆσαι ἐκ τῶν ἀναγραφέντων μερικῶς ἢ καθόλου, οἷος ἂν καὶ ᾖ, αὐτὴν μὲν τὴν ΘΕΟΤΟΚΟΝ ἕξῃ ἀντίμαχον ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. Τὰς δὲ Ἀρὰς καὶ ἀγανακτήσεις κληρονομήσῃ τῶν Ἁγίων Πατέρων (5) καὶ τῶν Ἀοιδίμων Βασιλέων, ἀλλὰ δὴ καὶ ὡς ἄπιστος τῆς ΒΑΣΙΛΕΙΑΣ μου καὶ λογισθήσεται καὶ παιδευθήσεται, τῇ ἐμφανείᾳ τοῦ παρόντος ΧΡΥΣΟΒΟΥΛΛΟΥ Λόγου τῆς ΒΑΣΙΛΕΙΑΣ μου.



(1) Πρὸς τὴν Μονὴν ἐπανέλθωσιν, ἤτοι ἡ Μονὴ αὐτοὺς κληρονομησάτω.

(2) Ἀγαρηνοὶ, Μουχαμετάνοι, Τοῦρκοι, Μουσουλμάνοι, Ἰσμαηλῖται.

(3) Παρὰ τῶν Παίδων καὶ Κληρονόμων, ἤτοι παρὰ τῶν Φιλτάτων Υἱῶν καὶ Κληρονόμων τῆς Βασιλείας μου, Ἐμμανουὴλ, Βασιλείου, Ἀνδρονίκου, καὶ Ἄννης, καὶ τῶν Διαδόχων αὐτῶν. καὶ ἐκ πάντων τῶν Ἀρχόντων τῆς Βασιλείας μου.

(4) Κεφαλάδαι καὶ Ἐνεργηταὶ, οἱ Ἄρχοντες τῆς Βασιλείας, τὸ Ἀρχοντολόγιον. Ἰω. Πρωτ.

(5) Βαρνάβα δηλαδὴ, Σωφρονίου καὶ Χριστοφόρου τῶν Ἀοιδίμων Κτιτόρων τῆς ἱερᾶς Μονῆς, καὶ τῶν εὑρισκομένων ἁγίων Πατέρων. Ἰωάν. Πρωτ.

Ἐν ᾧ καὶ τὸ ταύτης Εὐσεβὲς καὶ Θεοπρόβλητον ΚΡΑΤΟΣ, τὰ συνήθη συνήθως ἐπεσημήνατο (1).

Μηνὶ Δεκεμβρίῳ τῆς γ΄. Ἰνδικτιῶνος τοῦ ,ςωογ΄. ἔτους (2).
(Ἐν ἔτει Σωτηρίῳ δὲ, κατὰ τὸ, ατξε΄. (3)

## ἈΛΕΞΙΟΣ (4) ἘΝ ΧΡΙΣΤῼ Τῼ ΘΕῼ.

Πιστὸς Βασιλεὺς, καὶ Αὐτοκράτωρ Πάσης Ἀνατολῆς, Ἰβήρων καὶ Περατείας

L.S.

Ὁ ΜΕΓΑΣ ΚΟΜΝΗΝΟΣ.

(1) Ἐπισημήνατο, ἤτοι Βασιλικῷ Προστάγματι ἐψήφισεν, ἐπεκύρωσεν, ἐβεβαίωσε.

(2) Ἐν Μηνὶ Δεκεμβρίῳ τῆς τρίτης Ἰνδικτιῶνος, κατὰ τὸ, 6873, ἤτοι, Ἑξακισχιλιοστὸν Ὀκτακοσιοστὸν Ἑβδομηκοστὸν Τρίτον ἔτος, Ἀπὸ κτίσεως Κόσμου.

(3) Ἀπὸ δὲ τῆς Ἐνσάρκου Οἰκονομίας τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, κατὰ τὸ, 1365, ἤτοι, Χιλιοστὸν Τριακοσιοστὸν Πέμπτον.

(4) Ἀλέξιος, ὁ υἱὸς τοῦ βασιλέως Τραπεζοῦντος Βασιλείου, τοῦ Ἀλεξίου, τοῦ Ἰωάννου, τοῦ Ἀδριανοῦ, τοῦ Ἰωάννου, τοῦ βασιλέως Τραπεζοῦντος Ἀλεξίου Ἰουπίκλην Μεγάλου πρώτου Κομνηνοῦ, τοῦ Σεβαστοκράτορος Ἐμμανουὴλ, τοῦ Κωνσταντινουπόλεως βασιλέως Ἀλεξίου, τοῦ μεγάλου Δομεστίκου Ἰωάννου, τοῦ μεγάλου Δομεστίκου Μανουὴλ, τοῦ Κωνσταντινουπόλεως βασιλέως Μεγάλου καὶ πρώτου Κομνηνοῦ Ἰσαὰκ ἐκ τῆς Παμφλαγονίας. Ὅρα τὴν Γενεαλογίαν αὐτοῦ ἀκριβῶς, ἐν τῷ τέλει τῆς Ἱστορ. Τραπεζ. ἔμπροσθεν.

Ἐπιτομὴ



# ΕΥΣΕΒΕΣΤΑΤΩΝ ΑΥΘΕΝΤΩΝ.

## Ἐπιτομὴ

Οὗτινος Στέφανος ὁ Οὐγκροβλαχίας Ἡγεμὼν ἐδωρήσατο Χρυσοβούλλου τῇ Ἱερᾷ Μονῇ τοῦ Σουμελᾶ, κατὰ τὸ αψξδ΄.

Νοεμβρίου ιϛ΄.

Πνεύματι Θεοῦ πάντως ἀγόμενοι οἱ πρὸ ἡμῶν Θεοφιλέστατοι Ἡγεμόνες, μεθ᾽ ἧς ἦρχον διοικήσεως καὶ τῶν ἁπανταχοῦ γῆς, ὡς ἔπος εἰπεῖν, τοῦ Θεοῦ θεραπόντων προνοούμενοι διετέλουν, ταῖς ἐκείνων χρείαις ὁπωσοῦν ἐπαρκοῦντες, ἀνθ᾽ ὧν καὶ τὰ Οὐράνια ἑαυτοῖς μνηστευσάμενοι, οἰκοῦσιν ἤδη μεταστάντες ἔνθα ἦχος καθαρὸς ἑορταζόντων, φωνὴ ἀφράστου ἀγαλλιάσεως. Τούτων τοίνυν τοῖς ἴχνεσι καὶ ἡμεῖς ἑπόμενοι, οἱ Θείῳ Ἐλέει καὶ τὸν ἐκείνων ἡγεμονικὸν Θρόνον πατροπαραδότως κληρωσάμενοι, ὡρισάμεθα ἐν ᾧ ἐπιδόντες ἐσφραγίσαμεν ΧΡΥΣΟΒΟΥΛΛῼ, ἵν᾽ ὥσπερ ἐφ᾽ ἑνὸς ἑκάστου τῶν πρὸ ἡμῶν, οὕτω τοὶ καὶ ἐφ᾽ ἡμῶν χορηγῆται ἀπὸ τῆς Καμάρας τῶν Χοκνῶν εἴτ᾽ οὖν τῶν Ἁλῶν κατ᾽ ἔτος, Ἔλεος Ἀργύρια Ἑκατὸν τῇ πρὸς Τραπεζοῦντα ἐν τῷ τοῦ ΣΟΥΜΕΛΑ ὄρει Σεβασμίᾳ Μονῇ τῆς Ὑπερυμνήτου Θεοτόκου. ἔνθα φημὶ, καὶ τὸ παρὰ τοῦ Εὐαγγελιστοῦ Λουκᾶ ἱστορηθὲν Ἱερὸν αὐτῆς Ἀπεικόνισμα κείμενον, διήγειρεν Ἀλέξιον ἐκεῖνον

## Σύντομος

Περίληψις τοῦ Χρυσοβούλλου, τὸ ὁποῖον Σκαρλάτος ὁ Ἡγεμὼν τῆς Μολδοβλαχίας ἐχάρισεν εἰς τὴν Ἱερὰν Μονὴν τοῦ Σουμελᾶ, κατὰ τὸ, αψνε΄. Ἰαννουαρίου. 10.

Ἀπὸ τὴν χάριν τοῦ Θείου Πνεύματος ὁδηγέμενοι οἱ προτήτεροί μας Θεοφιλέστατοι Ἡγεμόνες, ὁμοῦ μὲ τὴν Ἐπαρχίαν ὁποῦ τὴν ἡγεμόνευαν δὲν ἔλειψαν νὰ φροντίζωσι καὶ διὰ τοὺς πιστοὺς δούλους τοῦ Θεοῦ ὁποῦ σχεδὸν εἰς ὅλην τὴν Οἰκουμένην εὑρίσκονται, βοηθοῦντές τους καθ᾽ ὅσον ἐνεδέχοντο εἰς ταῖς χρείαις των, διὰ τοῦτο καὶ προξενήσαντες ἐκ τούτου εἰς τὸν ἑαυτόν τους τὰ Οὐράνια, κατοικοῦσι τώρα, ἀναχωρήσαντες ἀπ᾽ ἐδῶ, ἐκεῖ ὁποῦ εἶναι ἦχος καθαρὸς τῶν ἑορταζόντων, φωνὴ ἀδιηγήτου εὐφροσύνης. Τούτων λοιπὸν τὰ ἴχνη ἀκολουθοῦντες καὶ ἡμεῖς οἱ ὁποῖοι ἀπὸ τὸ ἔλεος τοῦ Θεοῦ καὶ τὸν ἐκείνων ἡγεμονικὸν Θρόνον πατροπαραδότως ἐκληρονομήσαμεν, ἐδιωρισάμεθα μὲ τὸ Χρυσόβουλλον ὁποῦ σφραγίσαντες ἐδώσαμεν, ὥστε, καθὼς εἰς τὸν καιρὸν τοῦ καθ᾽ ἑνὸς τῶν Προτέρων μας Ἡγεμόνων, ἔτζι καὶ εἰς τὸν ἐδικόν μας καιρὸν νὰ δίδεται ἀπὸ τὴν Κάμαραν τῶν Χοκνῶν τοῦ Ἅλατος, καθ᾽ ἕκαστον χρόνον Ἔλεος Ἀργύρια Ἑκατὸν εἰς τὴν Σεβασμίαν Μονὴν τῆς Ὑπεραγίας Θεοτόκου ὁποῦ εἶναι πρὸς τὰ μέρη τῆς Τραπεζοῦντος εἰς τὸ ὄρος τοῦ Σουμελᾶ. Ἐκεῖ λέγω, ὁποῦ καὶ ἡ Ἁγία της Εἰκόνα, ἡ ἱστορισμένη ἀπὸ τὸν Εὐαγγελιστὴν Λουκᾶν, εὑρισκο-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

ρισκομένη, ἐπαρακίνησεν Ἀλέξιον ἐκεῖνον τὸν
Ἀείμνηςον Βασιλέα τὸν Μέγαν Κομνηνὸν νὰ
ἀνακαινίσῃ ἐκ θεμελίων τὸ Ἱερὸν ἐκεῖνο Μο-
ναςήριον, καθὼς εἶναι φανερὸν καὶ ἀπὸ τὸ
ἴδιον τȣ Χρυσόβȣλλον.

Ἑκατὸν μὲν ȣ῏ν, καθὼς εἶπον, Ἀργύρια
εἰς τὴν Μονὴν, Εἴκοσι νὰ δίδωνται εἰς ἐκεῖ-
νον ὁποῦ ςαλθῇ νὰ πάρῃ τὸ Ἔλεος.
ταῦτα διορισάμενοι, παρακαλȣ῏μεν Ἀδελ-
φικῶς καὶ τȣ̀ς κατόπι ἀπὸ ἡμᾶς ἀπὸ Θεῖον
Ἔλεος Ἡγεμόνας, νὰ ἐπιβεβαιώσȣν καὶ
αὐτοὶ ἀλληλοδιαδόχως, τȣ῏το ὁποῦ καὶ ἡμεῖς
ἐδιαδεχθήκαμεν, καὶ μὲ Χρυσόβȣλλόν μας
τὸ ἐβεβαιώσαμεν ὁμȣ῏ μετὰ ἐδικά μας Φίλ-
τατα Τέκνα, Ἀλέξανδρον, Μιχαὴλ, Νι-
κόλαον, καὶ Γρηγόριον, ἀκόμι καὶ μὲ τȣ̀ς
ἐδικȣ́ς μας Ἐνδοξοτάτȣς Ἄρχοντας.

Ἐλέῳ Θεȣ῏,
Ἰωάννης ΣΚΑΡΛΑΤΟΣ Γρηγορίου
Γκίκας Βοεβόδας Αὐθέντης
καὶ Ἡγεμὼν
πάσης Μολδοβλαχίας.

ἐκεῖνον τὸν ἐν Βασιλεῦσιν Ἀοίδιμον Μέγαν
Κομνηνὸν, ἀνεγεῖραι ἐκ βάθρων, τὸ Ἱερὸν
ἐκεῖνο Μοναςήριον, ὡς καὶ ἐκ τȣ῏ ἰδίȣ αὐτȣ῏
Χρυσοβȣ́λλȣ δῆλον.

Ἑκατὸν μὲν ȣ῏ν, ὡς εἴρηται, τῇ Μονῇ,
Δέκα δὲ τῷ ἐκεῖθεν ἀποςελλομένῳ λαβεῖν
τὸ Ἔλεος ὁρισάμενοι, ἀξιȣ῏μεν ἀδελφικῶς
καὶ τȣ̀ς μεθ᾽ ἡμᾶς Θείῳ Ἐλέει Ἡγεμόνας,
ἐπικυρȣ῏ν καὶ αὐτȣ̀ς ἀλληλοδιαδόχως, ὅπερ
καὶ ἡμεῖς διαδεξάμενοι, ΧΡΥΣΟΒΟΥΛ-
ΛΩ ἐπεσφραγίσαμεν, μετὰ τῶν ἡμετέ-
ρων Φιλτάτων Τέκνων, Μιχαὴλ καὶ Κων-
ςαντίνȣ, ἔτι μὴν καὶ τῶν περὶ ἡμᾶς Ἐνδο-
ξοτάτων Ἀρχόντων.

Ἐλέῳ Θεȣ῏,
Ἰωάννης ΣΤΕΦΑΝΟΣ Μιχαὴλ
Ῥακοβίτζας Βοεβόδας, Αὐθέντης
καὶ Ἡγεμὼν
πάσης Οὐγκροβλαχίας.







Ἱςορικὸν



# Ἱςορικὸν τῆς Πόλεως Τραπεζȣ῏ντος, καὶ τῶν Βασιλέων αὐτῆς.

Παρὰ τȣ῏ ἐν Ἱερομονάχοις Παρθενίȣ Τραπεζȣντίȣ τȣ῏ Μεταξοπȣ́λȣ, καὶ Ἀρχιμανδρίτȣ ἐκ τῆς Βασιλικῆς Μονῆς, Παναγίας τȣ῏ Σεμελᾶ.

Αὕτη ἡ περίφημος Τραπεζȣ῏ς τῆς Κολχίδος, Πόλις μεγάλη καὶ πολυάνθρωπος, δι-
πλοῖς τείχεσιν ὀχυρωμένη πρὸς τῷ Εὐξείνῳ Πόντῳ, κτίσμα καὶ ἀποικία Σινωπέων
τῶν Μιλησίων, ἐν τόπῳ ὑψηλῷ, εἰς σχῆμα τραπέζης, ἐκτίσθη αὐτοῦ που κατὰ
τὸ 4790. ἀπὸ Ἀδὰμ, πρὸ Χριςȣ῏ 718, ἐπὶ τῆς Βασιλείας Μανασσῆ τῶν Ἰȣδαίων.
ὅθεν καὶ Τράπεζα, καὶ Τραπεζȣ῏ς ὠνομάσθη. ἔςι πόλις Ἑλληνὶς, ἔχȣσα σημεῖον Ἄγ-
κυραν, καὶ Πρῶραν νηὸς, καὶ κεφαλὴν τȣ῏ Ἀπόλλωνος, καὶ ἐν τοῖς Νομίσμασι, γραμ-
ματα, ΤΡΑΠΕΖΟΥΝΤΙΩΝ. καὶ τὸν Ἀπόλλωνα, ἐν τῇ κεφαλῇ ἀκτῖνας φέροντα,
ὅπερ σημαίνει τὴν Πόλιν εἶναι Ἑλληνίδα, καὶ Φιλομαθῆ. ἐν ᾗ γὰρ ἤνθει τὰ μαθήματα μέ-
χρι τῆς ἁλώσεως αὐτῆς ὑπὸ τῶν Τȣρκῶν. κεῖται εἰς μοίρας, 43, πρὸς Ἄρκτον, καὶ πρὸς Ἀνα-
τολὴν, 65. Βασιλεύȣσα Πόλις τῆς Ἀνατολῆς ποτὲ, νῦν δὲ Πρωτεύȣσα τῆς Ἐπαρχίας, καὶ μέγα
Ἐμπόριον. ἥτις ἐκαλεῖτο καὶ Οἰζηνὶς ποτε. ἐν ταύτῃ μέλι ἀπὸ τῆς Πυξȣ῏ βαρύοσμον, ἀφ᾽ ȣ῏
τȣ̀ς φαγόντας, ὑγιαίνοντας μὲν ἐξίςασθαι, τȣ̀ς δ᾽ ἐπιλήπτȣς, εὐθέως ἀπαλλάττεσθαι (1).
καὶ οἱ ἐν αὐτῇ Ἕλληνες ὄντες, κατάγονται ἐκ τȣ῏ Ἰάφεθ υἱȣ῏ τȣ῏ Νῶε, καὶ τὰ ἤθη ἅμα
καὶ τὴν φωνὴν προϊέμενοι Ἑλληνικὴν μέχρι τῆς σήμερον, διεφθαρμένην δέ. καὶ τό-
τε μὲν ἔχοντες Βασιλέα ἴδιον, ἤγοντο, πρότερον παρὰ τȣ῏ Βασιλέως Ἀγχιάλȣ, εἶτα
ὑπὸ τȣ῏ Αἰήτȣ, καὶ Μαλάσσα, καὶ Μιθριδάτȣ, ὃν Φαρνάκης (2) ὁ υἱὸς αὐτȣ῏ τῇ
πρὸς Πομπήιον χάριτι, καρτερήσας ἀνεῖλε, περὶ τὸ 5445.

Πλησίον δὲ τῆς Τραπεζȣ῏ντος τρέχει ὁ ἐκ τȣ῏ Μελᾶ ὄρȣς κατερχόμενος Πυξίτης πο-
ταμὸς, καὶ μετὰ τȣ῏τον ὁ Πρύτανις.

Ἐν ταύτῃ τῇ Πόλει Τραπεζȣ῏ντι, καὶ ἐν Λαζικῇ, μετὰ τὴν Ἀνάληψιν τȣ῏ Σωτῆρος
Χριςȣ῏, ὁ Ἅγιος Ἀπόςολος Ἀνδρέας ὁ Πρωτόκλητος παρεγένετο, κηρύττων τὸ Ἱερὸν
Εὐαγγέλιον, καὶ πολλὰ πλήθη προσαγαγὼν τῷ Χριςῷ, Ναȣ́ς τε ἱερȣ̀ς ἀνεγείρας,
καὶ ἀπὸ τῶν ἤδη πεπιςευκότων Ἱερέας προχειρισάμενος, τὸ πιςευθὲν Τάλαντον τῆς τȣ῏
Χριςȣ῏ διδασκαλίας κατέθετο.

Ἐπὶ

Ζώσ. Βιβλ. α΄.
Στέφαν.
Στοιχ. Τ.
Εὐςάθ. Διον.
Στίχ. 688.
Ξενοφ. Κύρȣ
Ἀναβ. Βιβλ. 4.
Μελέτ. Φυλ.
511.
Γεώργ. Συγκ.
Ἱςορ. Βυζαντ.
Φύλλ. 170.
Νικόδ. Κολχ.
Ἱςορ. Τραπεζ.
Βιβλ. Γαλλικ.
Δρόμ. Περιεργ.
Τόμ. γ΄ Φυλ. 75
Κελλάρ. Γεωγρ.
Τόμ. γ΄.
Φυλ. 276.
Διόδωρ. Βιβλ. ιδ΄
Κεφ. 31.
Γεώργ. Κεδρ.
Ἱςορ. Βυζαντ.
Φυλ. 13.
Λαόνικ. Χαλκ.
Ἱςορ. Βυζαντ.
Βιβλ. 6.
Γεώργ. Σύγκ.
Ἱςορ. Βυζαντ.
Φυλ. 238.
Πλίν. Ἱςορ. Φυσ.
Βιβλ. ς΄ κεφ. 4.
Μελ. Φυλ. 527.
Συμ. Μεταφ.
Νοεμβρ. λ΄.

(1) Ἀριςοτ. ἐν τῷ περὶ Θαυμασ. ἀκȣσμ. Στραβ. Βιβλ. 10. καὶ Ἀῤῥιαν.

(2) Οὗτος ἔκτισε πόλιν παραθαλασσίαν ἐπ᾽ ὀνόματι αὐτȣ῏ Φαρνακίαν, τὸ νῦν δὲ ἐρείπιον, καὶ Πλάτανα καλεῖται, ἀπέχȣσα τῆς Τραπεζȣ῏ντος πρὸς Δυσμὰς μίλια, 50, Μελέτ. Γεώγρ. Βιβλ. 2. Κεφ. 14. Ὑπὲρ μὲν δὴ τῶν περὶ Φαρνακίαν καὶ Τραπεζȣ῏ντα τόπων, οἱ Τιβαρηνοὶ καὶ Χαλδαῖοι μέχρι τῆς μικρᾶς Ἀρμενίας εἰσί. Στραβ. Βιβλ. 12. Στέφ. ςοιχ. Φ. καὶ ὄπισθεν, Φυλ. 40. Ἀριθ. 5.

ἐν Βασιλείᾳ. Πραξ. λε΄. λς΄. λζ΄. λθ΄. Συνοδ. Ὑστάτη Κωνσταντινουπ. Συνελεύσει, β΄.

Νεκτάρ. Ἱεροσ. Φυλ. 233.

ἐκβίας, ἄλλοι δὲ στενοχωρούμενοι τῶν ἀναγκαίων, ἕτεροι δὲ διὰ δόξαν. Ὁ δὲ Ἔξαρχος τῶν Πατριαρχῶν καὶ τῆς Συνόδου καὶ Τοποτηρητὴς τοῦ Ἀντιοχείας καὶ Ἱεροσολύμων Ἅγιος Μάρκος Ἐφέσου, καὶ ὁ Ἡρακλείας Ἀντώνιος Τοποτηρητὴς τοῦ Ἀλεξανδρείας, ὁ Σταυρουπόλεως Θεόδωρος, καὶ ὁ Ἱερομνήμων καὶ ἄλλοι, οὔτε ὑπέγραψαν, οὔτε ἔστερξαν, οὔτε ἠθέλησαν ἀκοῦσαι τῶν ζητημάτων τῶν Λατίνων. ἔτι καὶ ὁ Οἰκουμενικὸς Πατριάρχης Ἰωάσαφ, ὁ καὶ Ἰωσήφ, κατὰ τὴν ἐν τῷ τέλει τῆς ζωῆς αὐτοῦ ἱερὰν Ὁμολογίαν τῆς Πίστεως, οὔτε ὑπέγραψεν, οὔτε ἔστερξε τὰ τῶν Λατίνων.

Συνοδ. Ὑστάτη Κωνσταντινουπ. Ἀναιρέσει. Φλωρεντ. Συλλόγ.

Λαβούσης τέλος τῆς ἀσυμφώνου μιαρᾶς Ψευδοσυλλόγου παρεγένοντο πάντες μετὰ τοῦ Βασιλέως ἐν Κωνσταντινουπόλει, καὶ μετὰ τὸν θάνατον τοῦ μετανοήσαντος Βασιλέως Ἰωάννου τοῦ Παλαιολόγου, ἐπὶ Κωνσταντίνου τοῦ ἐσχάτου υἱοῦ αὐτοῦ, συγκροτηθείσης Ἁγίας καὶ Οἰκουμενικῆς Συνόδου, κατὰ τὸ, 1447. διὰ τοῦ ἐν Ἁγίοις Μάρκου τοῦ τῆς Συνόδου Ἐξάρχου μετὰ τῶν τεσσάρων Πατριαρχῶν καὶ πολλῶν Ἀρχιερέων καὶ Κληρικῶν, καὶ τῶν ὑπογραψάντων εἰς τὰ τῆς ἐν Φλωρεντίᾳ Ψευδοσυλλόγου, ὧν οἱ ἀμεταμελήτως ἀντιλέγοντες ταῖς ἑπτὰ Οἰκουμενικαῖς Συνόδοις, καὶ δεξάμενοι τὴν, ΚΑῚ ἘΚ ΤΟΥ͂ ΥἹΟΥ͂, προσθήκην, ὡς Αἱρετικοὶ ἀναθεματίσθησαν..

Λαόνικ. Χαλκ. Ἱστορ. Βυζαντ. Βιβλ. θ΄. Νικόδ.

Ὁ δὲ Βασιλεὺς Ἀλέξιος Τραπεζοῦντος, τὴν μὲν ἑτέραν αὐτοῦ Θυγατέρα ὀνόματι Αἰκατερίναν ἔδωκε Γεωργίῳ τῷ Δεσπότῃ Σερβείας. τὸν μὲν Ἀλέξανδρον υἱὸν αὐτοῦ στέψας Βασιλέα, ἀπέστειλεν αὐτὸν ἐν τῇ Μιτυλήνῃ. ὁ μὲν Δαβὶδ ὁ τελευταῖος υἱὸς αὐτοῦ ἔλαβε γυναῖκα Ἑλένην Θυγατέρα Ματθαίου τοῦ Καντακουζηνοῦ. Ὁ δὲ Ἰωάννης ὁ πρῶτος υἱὸς αὐτοῦ ἀπελθὼν ἐν Ἰβηρίᾳ, ἔλαβε σύζυγον τὴν θυγατέρα τοῦ Βασιλέως Ἀλεξάνδρου τῶν Ἰβήρων. ὁ αὐτὸς Ἰωάννης μετὰ ταῦτα ἀπῆλθεν ἐν τῇ Καφφᾷ (1) τῆς Ταυρικῆς Χερσονήσου, ἀναζητῶν ἐκεῖσέ τινα ἔχοντα καράβιον, καὶ ἐλθόντα ἐν τῇ Τραπεζοῦντι πολεμικῶς κατὰ τοῦ ἰδίου Πατρὸς Ἀλεξίου.

---

Συλλογ. Συνόδ. καὶ Παπ. Ἐκδ. Παρ. κατὰ τὸ, 5158. διὰ Φρ. Βαρβολομαίου Καράτζα Μερανδῶ Δομινικάνου.

μὴ θαυμάσῃ πῶς ἐξέπεσεν εἰς Αἱρέσεις; β΄. τίνι τρόπῳ συνεκροτήθη ἡ Φλωρεντινὴ Συναγωγή. γ΄. πόθεν παρακινηθεὶς ὁ Λούθηρος ἀπέρριψε τὴν Παπισικὴν Ἐκκλησίαν.

(3) Καφφᾶ τῆς Σκυθικῆς ἢ Ταυρικῆς Χερσονήσου, ἤτοι τοῦ Κριμίου, πόλις Ἑλληνίς, ἀποικία τῶν Μιλησίων, παραθαλασσία, μεγάλη καὶ πολυάνθρωπος, Μητρόπολις τοῦ Γοτθείας, καὶ Καφφᾶ, καὶ μέγα ἐμπόριον, τῆς Μαύρης Θαλάσσης. ἥτις ποτὲ καὶ Θεοδοσία ἐκαλεῖτο κατὰ Μελέτιον. ἐν ᾗ ὁ τοῦ διδασκάλου μου Παπᾶ Κυριακῆ διδάσκαλος ὁ ἐν Ἱερομονάχοις Νικηφόρος περὶ τὸ 1730 ἀπὸ Χριστοῦ ἔτος, συκοφαντούμενος ἔκ τινος Ἀρμενίου, μεγάλου Πραγματευτοῦ τοῦ ὑψηλοτάτου Χάνη τοῦ Κριμίου, εἶτα ἀπὸ τῶν Τούρκων παρακινηθεὶς, ἀρνηθῆναι τὴν εἰς Χριστὸν Πίστιν, καὶ μὴ ὑπακούσας, μετὰ διαφόρους δεινὰς βασάνους, ἔλαβε τὸν τῆς Μαρτυρίας Στέφανον, κρεμασθεὶς ἐν ξύλῳ, Μαρτίου ιβ΄. καὶ θάπτεται ἔξω τῆς Πόλεως ἐν τοῖς Κοιμητηρίοις, εἰς τόπον λεγόμενον Τζανδόν. ὁμοίως καὶ ὁ φίλος μου εὐσταθὴς μάρτυς Εὐστάθειος ὢν ἐν τῷ ιδ΄. ἔτει τῆς ἡλικίας αὐτοῦ, ἐν τῷ δικαστηρίῳ τῶν Τούρκων τρανῶς καὶ θαρσαλέως Θεὸν ἀληθῆ καὶ ποιητὴν τοῦ παντὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὁμολογήσας, τύπτεται σφοδρῶς, καὶ ἐν ζοφερᾷ φυλακῇ βληθεὶς, τελευταῖον διὰ τὸ ἀμετάτρεπτον τῆς γνώμης αὐτοῦ, τὴν κεφαλὴν ἀποτέμνεται ἐνώπιόν μου εἰς τόπον λεγόμενον Ὀλοῦν Παζάρι τοῦ Καφφᾶ ἐν ἔτει 1759, Μαΐου 10, ἡμέρᾳ β΄, ὥρᾳ 10, καὶ ἐτάφη



εὗρε δὲ ἐκεῖσε Ἰανουίτην ἄνθρωπον ἔχοντα καράβιον μέγα ὅπλα παντοῖα φέρον, ὃν καὶ ἐχειροτονήσατο Πρωτοστράτορα. ἁρματώσαντες οὖν τὸ καράβιον καλῶς τε καὶ ὡς ἐχρῆν, ἦλθον ἐν τῇ Τραπεζοῦντι κατὰ Βασιλέως Ἀλεξίου τοῦ πατρὸς αὐτοῦ. ἐξελθόντες οὖν ἔξω ἐν τῇ ξηρᾷ ἐν τῇ τοποθεσίᾳ τοῦ Ἁγίου Φωκᾶ, Κορδύλη λεγομένῃ, μεταξὺ Τραπεζοῦντος καὶ Νεοκαισαρείας, καὶ ἐν τῇ Μονῇ αὐτοῦ ἐσκηνώσαντο αὐτόθι, σχόντες διὰ μέσου καὶ βοηθοὺς κρυφίως πρὸς τοὺς Καφφατιανοὺς, οἵ τινες αὐτὸν προδεδώκασιν. ἔχοντες γὰρ οὗτοι τὴν φυλακὴν τοῦ Βασιλέως εἰς τοῦ Ἀχαντοῦ προάστειον, τοῦ Βασιλέως Ἀλεξίου ἐκεῖσε καὶ αὐτοῦ σκηνώσαντος μετὰ ἁρμάτων τε καὶ πολεμικῶν, κατὰ τοῦ Ἰωάννου συνεκατέθεντο. παραχωρήσαντες τὴν κατὰ Ἀλεξίου ἔλευσιν, ὃν καὶ εὑρόντες οἱ τοῦ Ἰωάννου ἄρχοντες ἐν τῇ σκηνῇ ἀνυπόπτως, καὶ μετὰ βίας ἀπέκτεινον αὐτὸν ἐν ὥρᾳ Μεσονυκτίου. ὁ γὰρ Βασιλεὺς Ἰωάννης οὐκ εἶπεν ὅλως κτεῖναι τὸν πατέρα αὐτοῦ, ἀλλὰ μόνον ζωγρῆσαι, καὶ εἰς αὐτὸν ἀγαγεῖν. ἐκεῖνοι δὲ τοῦτο μὴ φυλάξαντες, ἀλλ᾽ ἀποκτείναντες, μᾶλλον τῷ Βασιλεῖ Ἰωάννῃ τὰ πρὸς χάριν πεποιηκέναι ἔδοξαν ἴσως. ὧν ὁ Βασιλεὺς Ἰωάννης ὕστερον, τὸν μὲν ἐτύφλωσε, τὸν δὲ ἐχειροκόπησεν.

Ὁ Ἰωάννης τοίνυν ἀνεδέξατο τὴν Βασίλειαν, κηδεύσας τὸν πατέρα αὐτοῦ ταῖς προσηκούσαις τιμαῖς, ὃν καὶ κατέθετο ἐν τῇ τῆς Θεοσκεπάστου Μονῇ, εἰ καὶ ὕστερον ἔφερε τοῦτον ἐν τῇ Μητροπόλει Χρυσοκέφαλος Παναγία λεγομένῃ.

Ἐντὸς ὀλίγου ἦλθε καί τις Ζύχης Βάρβαρος Ἀρταβίλης ὀνόματι δὶς κατὰ τῆς Τραπεζοῦντος πολεμικῶς, καὶ ἀπῆλθεν ἄπρακτος.

Ὁ δὲ τῆς Ἀμασίας Ἔπαρχος Τοῦρκος Χιτήρης ὀνόματι, στρατευσάμενος, καὶ ἄφνω ἐπιπεσὼν ἐν Τραπεζοῦντι, τῶντε ἐν τῇ ἀγορᾷ καὶ ἐν τοῖς χώραις ταῖς ἐν τῇ Πόλει οὐκ ὀλίγους

---

ἐτάφη ἐν τῷ Νάρθηκι τοῦ Ναοῦ τῆς ὑπεραγίας Θεοτόκου τῆς Μητροπόλεως, καὶ ἐζωγραφίσθη παρ᾽ ἐμοῦ ὁ Τάφος αὐτοῦ χάριν εὐλαβείας τε καὶ φιλίας.

Ὡσαύτως καὶ ὁ δεύτερος διδάσκαλός μου, Δαβὶδ Ἱερεὺς καὶ Οἰκονόμος τοῦ Καφφᾶ ἐν ἔτει 1770. διὰ τὸ περιπόθητον καὶ γλυκύτατον ὄνομα τοῦ Ἰησοῦ μου Χριστοῦ, τὴν κεφαλὴν παρὰ τῶν Τούρκων ἀπετμήθη. ἀξιωθεὶς τοῦ στεφάνου τῆς Μαρτυρίας.

Καὶ πρὸ τούτων ἐν τῷ Πακτζεσαραγίῳ Καθέδρᾳ τοῦ Φοβεροῦ Χάνη, κατακριθέντος ἀδίκως τοῦ Μητροπολίτου Γοτθείας καὶ Καφφᾶ Γεδεὼν, σὺν ἄλλοις Χριστιανοῖς περὶ προδοσίας, καὶ ἀποφασισθέντος ἐν ξύλῳ κρεμασθῆναι. διὰ δὲ τὴν ἀγάπην τῶν Χριστιανῶν, λαμβάνει τὴν κατάκρισιν ἐπάνω αὐτοῦ ὁ Ἱερομόναχος Δανιὴλ, καὶ κρεμᾶται ἐπὶ ξύλου ἀντ᾽ ἐκείνων περὶ τὸ 1725, τιθεὶς τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν φίλων καὶ ἀδελφῶν αὐτοῦ κατὰ τὴν Γραφήν.

ὀλίγους συνέλαβεν, εἰς δισχιλίους τοὺς πάντας γενομένους. καὶ ἑτοίμου ἤδη οὔσης τῆς Πόλεως τῇ τοῦ λοιμοῦ βίᾳ, καὶ προσδοκίμου ἁλώσεσθαι, διαπραξάμενος χρήμασιν ὁ τῆς Τραπεζοῦντος Βασιλεὺς Ἰωάννης, ὥστε ὑπόφορον ἔχειν τὴν Πόλιν Μεχμέτῃ τῷ Σουλτάνῳ τοῦ λοιποῦ. τούς τε αἰχμαλώτους, οὓς ἔλαβεν ὁ Χιτὴρ Μπέης, ἀποδοθῆναι, οἷ ἔπεισε, καὶ αὐτὸν ἡσυχίαν ἄγειν, ἀπάγοντα τῷ Βασιλεῖ Φόρον δισχιλίους χρυσίνους. ὕστερον μέν τοι ὁ Βασιλεὺς Ἰωάννης ἀπέστειλε τὸν ἀδελφὸν αὐτοῦ Δαβὶδ Δεσπότην ὡς τὸν Βασιλέα, καὶ ἠξίου τοῦτον ἐμπεδοῦν τὰς σπονδὰς, ὃ καὶ γέγονεν, ἐπὶ Φόρον χρυσίνων τρισχιλίων, καὶ ἀπέθανε βασιλεύσας χρόνους εἴκοσι.

Νικόδ. Μελέτ. Φυλ. 422. καὶ 437. Ἱστορ. Συμελ. Φυλ. 20. Ἀριθ. 4.

Ἔλαβε δὲ τὴν Βασιλείαν ὁ ἀδελφὸς αὐτοῦ Δαβὶδ Κομνηνὸς ὁ τελευταῖος, καὶ ἐβασίλευσε χρόνους τέσσαρας, ἀδικήσας τὸν Ἀνεψιὸν αὐτοῦ Ἀλέξιον υἱὸν Ἰωάννου τοῦ Βασιλέως ἀδελφοῦ αὐτοῦ. Ὁ δὲ Βασιλεὺς Σουλτὰν Μεχμέτης παραλαβὼν τὴν Κωνσταντινούπολιν, κατὰ τὸ 1453. ἔτος ἀπὸ Χριστοῦ, Μαΐου 29. ὤμοσεν ἐλθεῖν ἐπὶ Χασάνην τὸν Μακρὴν, καὶ ἐπὶ Τραπεζοῦντα τῆς Κολχίδος, ὡς καθαιρήσων τὸν Δαβὶδ Βασιλέα, ὡς ἐπιτηδείως εἶχε πρὸς τὸν Χασάνην συνήθης γενόμενος ὡς ὁ ἀδελφὸς αὐτοῦ. ἐξέδοτο δὲ αὐτῷ εἰς γάμον τὴν Ἀνεψιὰν αὐτοῦ Αἰκατερίναν τὴν τοῦ Ἰωάννου, καὶ προσεδεῖτο αὐτοῦ διαπράξασθαι εἰς τὸν Σουλτὰν Μεχμέτην τοῦ λοιποῦ μὴ ἀπάγειν τὸν Φόρον τῆς Τραπεζοῦντος πρὸς αὐτὸν, ἀλλὰ μᾶλλον ἀποχαρίσασθαι τῷ Χασάνῃ τὸν Σουλτὰν Μεχμέτην. οἱ μὲν οὖν πρέσβεις τοῦ Χασάνη εἰς τὸν Σουλτάνον ἀφικόμενοι, διελέγοντο μὲν καὶ ἄλλα ὑπερήφανα, ἐν δὲ τοῖς, καὶ τόδε ἠξίουν σφίσιν ἀφεθῆναι, τὸν τῆς Κολχίδος χώρας Φόρον. τούτους μὲν οὖν ἀπέπεμψε Βασιλεὺς ἐπαπειλήσας, ὡς τοῦ λοιποῦ εἴσονται οὐκ εἰς μακρὰν, ὅτι δέοι τοῦ Βασιλέως προσδεῖσθαι.

Λαόν. Χαλκ. Ἱστορ. Βυζαντ. Βιβλ. Θ'. Νικόδ. Κολχ.

Ὁ μὲν δὴ στόλος τῶν Τουρκῶν ἄρας ἀπὸ (1) Σινώπης, ἐπεὶ ταύτην προσεδουλώσατο, ἐπορεύετο, ἐν δεξιᾷ ἔχων τοὺς Καππαδόκας, καὶ ἀφικόμενος εἰς τὴν πόλιν Τραπεζοῦντα, τά τε προάστεια ἐνέπρησε, καὶ ἐπολιόρκει τὴν Πόλιν ἐπὶ ἡμέρας τριάκοντα δύω. Μετὰ δὲ ταῦτα προελαύνων Μαχμὲτ Πασσιὰς εἰς Τραπεζοῦντα, καὶ αὐτοῦ που σκηνώσας, ἐν τῇ λεγομένῃ Σκυλολύμνῃ, καὶ λόγους προσφέρων πρὸς τὸν αὐτοῦ Ἐξάδελφον Πρωτοβεστιάριον. ἔλεγε γὰρ πρὸς αὐτὸν εἰπεῖν τῷ Βασιλεῖ Δαβὶδ τάδε.

»Βασιλεῦ Τραπεζοῦντος, γένους τοῦ Ἑλλήνων Βασιλεῦ, Βασιλεὺς Μέγας τάδε λέ»γει. Ὃς ὁρᾷς μὲν ὅσην χώραν διαπορευόμενος, ἐξουσιάσατο. εἰ μὲν οὖν αὐτίκα τὴν πό»λιν παραδοὺς τῷ Βασιλεῖ, καὶ χώραν μέντοι παρέχεταί σοι, ὡς καὶ τῷ Ἑλλήνων »Ἡγεμόνι τῆς Πελοποννήσου Δημητρίῳ, εὐδαιμονίαν τε ἐδωρήσατο καὶ νήσους, καὶ Αἶνον πόλιν

Ἱστορ. Συμελ. Φυλ. 6. Ἀριθ'. 4. καὶ Φυλ. 14. Ἀριθ. 1.

---

(1) Σινώπη, πόλις Ἑλληνὶς διαφανεστάτη τῆς Μαύρης Θαλάσσης, κτίσμα Μακρίλου Κώου, ὥς φησι Φλέγων Μιλησίων ἄποικος, κειμένη ἐν τῇ Παμφλαγονίᾳ. Στέφ. στοιχ. Σ.



» πόλιν εὐδαίμονα, καὶ ἐν ἀσφαλείᾳ ὢν κάθηται εὐδαιμονῶν. εἰ δὲ μὴ πειθόμενος, ἀν»τέχειν ἐθέλῃς, ἴσθι τήν τε Πόλιν ἐξανδραποδίσοντα, οὐ πολλῷ ὕστερον, (οὐ γὰρ ἂν » ὁ Μέγας Βασιλεὺς ἀπαναστήσεται, μὴ ἐξελὼν πρότερον ὑμᾶς.) καὶ αἰσχίστῳ παρα»δώσοντα θανάτῳ.

Ταῦτα εἰπόντος τοῦ Μαχμέτη, ὑπελαβὼν ὁ Βασιλεὺς Δαβὶδ, διὰ τοῦ Πρωτοβεστιαρίου ἔλεγε τοιάδε.

„Ἀλλ' ἡμεῖς καὶ πρότερον τὰς Βασιλέως σπονδὰς οὐ παραβαίνοντες, τόν τε Ἀδελ„φὸν τοῦ Βασιλέως πέμψαντες, ἕτοιμοι ἦμεν, ἐφ' ὅτι ἂν ἄρα κελεύει ὁ Βασιλεὺς, ἴε„σθαι αὐτίκα πειθόμενοι, καὶ τῷ Ναυάρχῳ τοῦ Βασιλέως τόδε ἐλέγομεν, ὡς ἂν μὴ τὴν „Χώραν κακῶς ποιοῦντες ληΐζονται. ὡς, ἢν ἐπίῃ Βασιλεὺς προσχωρήσειν αὐτῷ παρε„σκευάσμεθα.

Ταῦτά τε ἔλεγε, καὶ ἠξίου σπένδεσθαι αὐτῷ Βασιλέα, ἐφ' ᾧ τήν τε θυγατέρα αὐτοῦ Ἄνναν πρὸς Βασιλέα ἄγεσθαι, καὶ Χώραν αὐτῷ παρέχεσθαι, ὅση ἴσην τὴν πρόσοδον αὐτοῦ τῆς Χώρας ἀποδοίη. ταῦτα λέγων ἠξίου σπένδεσθαι. Μαχμέτης μὲν οὖν εἰς τὸ Στρατόπεδον ἀπήλαυνε, Βασιλεὺς δὲ ὑπήντα ἀγγελῶν τὰ περὶ τῆς Πόλεως. ἐπαρθεὶς δὲ τοῖς λόγοις τοῖσδε ὁ Μαχμέτης, ὥρμητο κατὰ κράτος ἐξελεῖν τὴν Πόλιν, καὶ ἀνδραποδίσασθαι. ἀλλ' ὅμως διὰ τῆς γυναικὸς τοῦ Βασιλέως οὐκ ἐγένετο. μετὰ δὲ ταῦτα καὶ τὴν Πόλιν παρέλαβον Τραπεζοῦντα οἱ τοῦ Βασιλέως Νεήλυδες, ὡς ἐπέταξεν ὁ Βασιλεύς. καὶ τὸν Βασιλέα Τραπεζοῦντος Δαβὶδ τὸν Κομνηνὸν, ἐμβάντα εἰς τὰς ναῦς, ἅμα τῇ θυγατρὶ καὶ υἱῷ αὐτοῦ Γεωργίῳ, καὶ ἀνεψιῷ αὐτοῦ Ἀλεξίῳ, καὶ συγγενέσιν αὐτοῦ, ὅσοι παρῆσαν αὐτῷ, ἐκέλευσεν ἀποπλεῖν εἰς τὸ Βυζάντιον. τὴν μὲν οὖν Πόλιν ἐπέτρεψε τῷ Ναυάρχῳ, τῆς Καλλιουπόλεως Ὑπάρχῳ, Νεήλυδάς τε καθίση εἰς τὴν ἀκρόπολιν, καὶ ἀζάπιδας εἰς τὴν πόλιν. μετὰ δὲ ταῦτα ὁ Σουλτάνος πέμψας Χιτήρην, τὸν τῆς Ἀμασίας Ὕπαρχον ἐδούλωσε ἑαυτῷ τὰ περὶ τὴν Πόλιν χωρία, καὶ τὰ περὶ τὸ Μεσοχάλδειον πάντα.

Τὸν δὲ Βασιλέα Δαβὶδ, τὸν Κομνηνὸν, καὶ ἀδελφὸν αὐτοῦ Ἀλέξανδρον τὸν ἐν Μιτυλήνῃ ὄντα, καὶ τὸν ἀνεψιὸν αὐτοῦ Ἀλέξιον, ἐπιπλάστοις γράμμασι τούτων κατηγορήσας, καὶ πάντας τοὺς υἱοὺς αὐτῶν ἐφόνευσε Θεοῦ παραχωρήσει, καὶ τὰς γυναῖκας καὶ θυγατέρας αὐτῶν ἔνθεν κἀκεῖθεν διεσκόρπισεν ὁμοίως. Τραπεζοῦς μὲν οὕτως ἑάλω, καὶ ἡ τῆς Κολχῶν σύμπασα ὑπὸ Βασιλεῖ ἐγένετο, Ἡγεμονία καὶ αὕτη Ἑλλήνων οὖσα, καὶ εἰς τὰ ἤθη τε καὶ δίαιταν αὐτῶν τετραμμένη, ὥστε ἀναστάτους γενέσθαι ὑπὸ τοῦ Τούρκου Βασιλέως οὐ πολλῷ χρόνῳ τούς τε Ἕλληνας καὶ Ἑλλήνων ἡγεμονίας. Πρῶτον μὲν τὴν Κωνσταντινούπολιν, μετὰ δὲ ταῦτα Πελοπόννησόν τε, καὶ Τραπεζοῦντος Βασιλέα, καὶ Χώραν αὐτήν.

Ἀθανάσ. Δαμ. Νικόδ. Μελέτ. Γεωγρ. Βιβλ. β'. Κεφ. 14.

Ἔχει

Ἔχει δὲ ἡ Τραπεζοῦς Κτήρια βασιλικά. ἔσω μὲν τῆς Πόλεως τὴν Μονὴν τῆς Χρυσοκεφάλου Παναγίας, καὶ τοῦ Ἁγίου Γεωργίου. ἔξω δὲ τοῦ Ἁγίου Εὐγενείου, καὶ Ἀποστόλου Φιλίππου, Μετζίτια Τούρκων. Τὴν δὲ τῆς Ἁγίας τοῦ Θεοῦ λόγου Σοφίας, καὶ τοῦ Μεγάλου Βασιλείου, καὶ τοῦ Ἁγίου Γρηγορίου Νύσσης Μονὴν τὴν σήμερον Μητρόπολιν τῶν Χριστιανῶν, καὶ τὴν τῆς Θεοσκεπάστου Παναγίας, τῶν Μοναζουσῶν. Ἔτι ὥρας ιβ΄. ἀπέχουσα τῆς Τραπεζοῦντος ἐφ᾽ ὑψηλοῦ ὄρους Μελᾶ, εὑρίσκεται ἡ Σεβασμία Βασιλικὴ Μονὴ τῆς Θεοτόκου, Παναγία τοῦ Σουμελᾶ ὀνομαζομένη. δεξιᾷ μὲν ἔχουσα τὴν Βασιλικὴν Μονὴν τοῦ τιμίου Προδρόμου ἀπέχουσαν τῆς Τραπεζοῦντος ὥρας, 10, ἀριστερᾷ δὲ τοῦ Ἁγίου Γεωργίου Περιστεριώτου, Σκήτην οὖσαν πρότερον, ὕστερον ἀνακτισθεῖσαν. εἰς αὐτὸν τὸν δέκατον ἕβδομον αἰῶνα παρὰ Ἀρχιερέων Τραπεζοῦντος, Μοναστήριον σταυροπήγιον, ἀπέχον αὐτῆς ὥρας ὀκτώ. Καὶ ταῦτα ὡς ἐν συντόμῳ ὑπὸ διαφόρων Συγγραφέων σποράδην συνερανισθέντα, ἐγράφησαν τὸ κατὰ δύναμιν.

ΤΈΛΟΣ.



# Χριστιανικὴ Διδασκαλία Συντομωτάτη.

## διὰ τὸ Πρόχειρον τῶν Ἀναγκαίων Περίληψις πρὸς ὠφέλειαν τῶν Ἐντυγχανόντων.

### Ἐφραὶμ Πατριάρχου Ἱεροσολύμων.

Ὁ Χριστιανὸς κατὰ τὸν Μέγαν Ἀθανάσιον ἐστὶν Οἶκος Χριστοῦ ἀληθὴς δι᾽ ἔργων ἀγαθῶν, καὶ Δογμάτων ὀρθῶν συνιστάμενος. Ὀφείλει οὖν μετὰ τῶν καλῶν ἔργων γινώσκειν ἕκαστος τῶν Χριστιανῶν τὰ κυριώτερα τῆς Πίστεως, ἅ τινα περικλείονται εἰς τὰ Δώδεκα Ἄρθρα τῆς Πίστεως, ἅ τινα περιέχει τὸ ἅγιον Σύμβολον.

α΄, Πιστεύω εἰς ἕνα Θεὸν, Πατέρα παντοκράτορα, ποιητὴν Οὐρανοῦ καὶ Γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.

β΄, Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, Φῶς ἐκ Φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρὶ, δι᾽ οὗ τὰ πάντα ἐγένετο.

γ΄, Τὸν δι᾽ ἡμᾶς τοὺς Ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν Σωτηρίαν κατελθόντα ἐκ τῶν Οὐρανῶν, καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου, καὶ Μαρίας τῆς Παρθένου, καὶ ἐνανθρωπήσαντα.

δ΄, Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα.

ε΄, Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, κατὰ τὰς Γραφάς.

ς΄, Καὶ ἀνελθόντα εἰς τοὺς Οὐρανοὺς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός.

ζ΄, Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς Βασιλείας οὐκ ἔσται τέλος.

η΄. Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ Κύριον, τὸ Ζωοποιὸν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον, καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν Προφητῶν.

θ΄. Εἰς μίαν Ἁγίαν, Καθολικὴν, καὶ Ἀποστολικὴν Ἐκκλησίαν.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ι΄. Ὁμολογῶ ἓν Βάπτισμα εἰς ἄφεσιν Ἁμαρτιῶν.

ια΄, Προσδοκῶ Ἀνάστασιν νεκρῶν.

ιβ΄. Καὶ Ζωὴν τοῦ μέλλοντος Αἰῶνος. Ἀμήν.

Αὕτη ἡ Πίστις τῶν Ὀρθοδόξων, οὕτω παρὰ τῶν Ἁγίων παρελάβομεν Ἀποστόλων, καὶ παρὰ τῶν ἐν Ἑπτὰ Οἰκουμενικαῖς Συνόδοις διαπρεψάντων Θεοφόρων Πατέρων, καὶ τοὺς μὴ οὕτω φρονοῦντας Ἀναθέματι καθυποβάλλομεν.

Ὀφείλει ἔτι ὁμολογεῖν ὁ Χριστιανὸς τὰ ἑπτὰ τῆς Ἐκκλησίας Μυστήρια, τὸ ἅγιον Βάπτισμα λέγω. τὸ ἅγιον Μῦρον. τὴν Ἱερωσύνην. τὴν ἁγίαν Κοινωνίαν. τὴν Μετάνοιαν καὶ Ἐξομολόγησιν. τὸ Εὐχέλαιον. καὶ τὸν νόμιμον Γάμον, τελεῖσθαι τῇ χάριτι τοῦ ἁγίου Πνεύματος, καὶ ἁγιάζεσθαι διὰ τῶν νομίμων Ἱερέων κατὰ τὴν Παράδοσιν τῆς Καθολικῆς Ἐκκλησίας, ὡς καὶ οἱ τέσσαρες Πατριαρχικοὶ Θρόνοι ἐνεργοῦσι καὶ κρατοῦσι μέχρι τοῦ νῦν, κἂν ὑπὸ δουλείαν εἰσίν. ἡ γὰρ Βασιλεία ἡ ἐμὴ ἔλεγεν ὁ Κύριος, οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου.

» Ὀφείλει ἔτι φυλάττειν τὰς διωρισμένας Νηστείας ὁ Χριστιανὸς, καὶ εὔχεσθαι κατὰ τὴν τῆς Ἁγίας Ἐκκλησίας Παράδοσιν, ἐπειδὴ τοῦτο τὸ γένος (ἤτοι οἱ Δαίμονες) ἐν οὐδενὶ ἄλλῳ ἐκπορεύεται κατὰ τὴν ἀπόφασιν τοῦ Κυρίου, εἰ μὴ ἐν Προσευχῇ καὶ Νηστείᾳ. Πᾶσα δὲ Προσευχὴ συνέχεται καὶ ἀφορᾷ εἰς τὰ ἑπτὰ αἰτήματα τῆς Κυριακῆς Εὐχῆς, τοῦ Πάτερ ἡμῶν δηλονότι. Πρὸς δὲ τούτοις χρεία ἐστὶ καὶ ἐξομολογεῖσθαι συνεχῶς, καὶ μεταλαμβάνειν τῶν Ἀχράντων Μυστηρίων τὸν Χριστιανὸν κατὰ τὴν Ἐκκλησιαστικὴν Παράδοσιν, μετ' εὐλαβείας καὶ καθαρότητος, ἵνα μὴ κατακριθῇ ὡς ἀναξίως προσερχόμενος. Καὶ τὰς ἁγίας Εἰκόνας τιμητικῶς προσκυνεῖν, κατὰ τὴν τῆς ἁγίας Ἐκκλησίας παράδοσιν. Κατὰ δὲ τὰ ἔργα, ἃ ὀφείλει ὁ Χριστιανὸς φυλάττειν μετὰ ταπεινώσεως καὶ ὑποταγῆς προσηκούσης, ὅσα τὸ ἱερὸν διδάσκει Εὐαγγέλιον, ἐκκλίνειν τε ἀπὸ κακοῦ, καὶ ποιεῖν τὸ ἀγαθὸν, καὶ ὡς ὑπὸ τῶν Θείων Πατέρων διδασκόμεθα μετὰ φόβου Θεοῦ πολιτεύεσθαι, καὶ τηρεῖν μάλιστα τὴν πρὸς Θεὸν καὶ τὸν Πλησίον ἀγάπην, ὅπου περιέχεται εἰς τὰς δέκα Ἐντολάς.

Αὗται αἱ δέκα Ἐντολαὶ, καί τοι Νομικαὶ, ἀλλ' οὖν ὡς ἠθικαὶ, ὑπὸ τοῦ Θεανθρώπου Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μᾶλλον ἐβεβαιώθησαν, ὡς καὶ τὰ τῶν Προφητῶν ἐπληρώθησαν, ὅθεν παρὰ πάντων τῶν Εὐσεβῶν φυλάττονται, καὶ ὑπ' αὐτῶν σχεδὸν τῶν Ἐθνικῶν λαῶν. Ἐπικατάρατοι γάρ φησι Δαβὶδ οἱ ἐκκλίνοντες ἀπὸ τῶν Ἐντολῶν σου. Ὅσα μέν τοι Ἱεροτελεστικὰ τοῦ Νόμου, οἷον Νουμηνίαι, Σαββατισμοὶ, Περιτομὴ,

νομικὴ



νομικὴ Ἱερωσύνη, Θυσίαι, Ἁγνισμὸς, Λέσματα, καὶ ἄλλα Ἰουδαϊκὰ παρατηρήματα ἐν τῷ Πάσχα καὶ ἐν Εὐχαῖς, καὶ νομικαῖς καθάρσεσι, κατηργήθησαν πάντα ὡς τυπικὰ διὰ τῆς ἐλεύσεως τοῦ Μεσσία.

» Τὰ δὲ κριτικὰ Ἐντάλματα ὡς πρὸς τοὺς Κριτὰς ἀφορῶντα, ἐκκόπτειν δηλαδὴ τὰς ἀδικίας, καὶ καταδυναστείας τῶν ἄλλων, εἰς Πτωχοὺς, Χήρας, καὶ Ὀρφανά. Κρίνειν δικαίως τὰς κοσμικὰς ὑποθέσεις καὶ χρηματικάς. Παιδεύειν τοὺς ἀτάκτους, οἷον λιθοβολεῖν τοὺς βλασφημοῦντας τὸ ὄνομα τοῦ Θεοῦ. Φονεύειν τοὺς Ἐπαοιδοὺς, Μάγους, καὶ Ἐγγαστριμύθους, καὶ τοὺς Πατέρα τύψαντας, ἢ Μητέρα. Καταδικάζειν τοὺς Ψευδοπροφήτας καὶ Ψευδοδιδασκάλους, ὡς μὴ λέγοντας τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῆς καρδίας αὐτῶν. Τοὺς πόρνους ἀτιμάζειν καὶ καταδικάζειν, ὡς καὶ τοὺς μοιχοὺς θανάτῳ ἀμφοτέρους κεφαλικῷ τιμωρεῖν, καὶ τοὺς ἀῤῥενομανεῖς, ὁμοίως καὶ κτηνοβάτας, καὶ τοὺς συγγενέσι μιαινομένους.

Ταῦτα, καὶ ὅσα ὅμοια τοῖς Ἄρχουσι καὶ Κριταῖς καὶ Βασιλεῦσι μάλιστα, πρὸς διόρθωσιν τῶν ἀτάκτων ἐπιτρέπονται. ὁ Νόμος γὰρ παιδαγωγὸς ἦν, τοῖς δὲ παιδίοις αἱ νουθεσίαι ἄνευ παιδείας οὐκ εἰσακούονται, ὅθεν καὶ τοῖς φρεσὶ νηπιάζουσι, καὶ παρανομοῦσι παιδεία διώρισται παρὰ Θεοῦ, ὡς ὁρῶμεν εἰς τὸ Λευιτικὸν καὶ Δευτερονόμιον.

» Τὸ δὲ ἱερὸν Εὐαγγέλιον τελείους καὶ Ἁγίους ἡμᾶς ζητεῖ, ὡς καὶ Υἱοθεσίᾳ διὰ τῆς ἐνσάρκου Οἰκονομίας τιμηθέντας τῇ θείᾳ χάριτι, ὅθεν νουθεσίας χρεία μόνον τοῖς τελείοις. ἐὰν δὲ ὁ τέλειος Ἀνὴρ τὰ τῶν νηπίων ἐκτελῇ, μᾶλλον ἀξιοκατάκριτος, καὶ ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι, ὅτι καὶ μείζων τοῦ Ἱεροῦ ὧδε. δι' ὃ καὶ τοῖς Ἱερωμένοις οὐ συγχωρεῖται ὡς τοῖς πάλαι καὶ ἐν Νόμῳ τὸ τιμωρεῖν καὶ θανατοῦν, καθὼς Μωσῆς, καὶ Σαμουὴλ καὶ Ἠλίας ἐποίησαν, ἀλλ' ἢ διδάσκειν κατὰ Χριστὸν, ἀπολαμβάνοντας τὴν ὀφειλομένην ἐκ τῶν διδασκομένων τιμὴν, καὶ τὸν ἀπειθοῦντα τῇ μαχαίρᾳ τοῦ Πνεύματος μόνον παιδεύειν (ὃ πολλῷ μεῖζον τοῖς ἔχουσιν αἴσθησιν, καὶ φόβον Θεοῦ ὁπωσοῦν) καὶ τὴν κρίσιν Θεῷ ἐπιτρέπειν, ὡς οἱ Ἀπόστολοι, καὶ οἱ τούτων Διάδοχοι, καὶ Θεοφόροι Πατέρες, ἢ καὶ ἀναφέρειν πρὸς τοὺς κρατοῦντας περὶ τῶν ἀναισχύντως ἁμαρτανόντων καὶ ἀπειθῶν, πρὸς σωφρονισμὸν καὶ αὐτῶν, καὶ ἄλλων, ἵνα παιδευόμενοι καὶ μετανοήσαντες ἴσως σωθῶσιν, εἰ καὶ οἱ κακοήθεις καὶ κακότροποι, οὔτε νουθεσίαις διορθοῦνται, οὔτε παιδείαις, ὡς μηδὲ Χριστιανισμὸν ἔχοντες, ἀλλ' ἢ μόνον τὸ ὄνομα. καὶ εἴθε ὁ Κύριος ἀξιώσειε πάντας ἀξίως πολιτευθῆναι τοῦ ὀνόματος, ἐγνωρίζοντας τὰς μεγάλας εὐεργεσίας, τιμὰς, καὶ χάριτας, ἃς ἔχομεν διὰ τῆς εἰς Χριστὸν Πίστεως, καὶ οὕτω μαθόντας καὶ ποιοῦντας ἐνταῦθα τὰ εἰς Σωτηρίαν συμβάλλοντα ὡς ἀληθεῖς Χριστιανοὺς, ἀξιωθῆναι καὶ τῆς Βασιλείας τῶν Οὐρανῶν.

Τ Έ Λ Ο Σ.